VITA S. ANTONII EREMITAE

A

D. ATHANASIO GRAECE

SCRIPTA,


E Codice Boico nunc primùm edita.

Cum

DAVIDIS HOESCHELII

Augustani Interpretatione ac

Notis.



AVGVSTAE VINDELICORVM
ad insigne pinus, imprimebat David Franck.

M. DCXI.

ΤΩι ΑΙΔΕΣΙΜΩΤΑΤΩι καὶ θεοφιλεστάτῳ κυρίῳ, Ἀντωνίῳ Βελσέρῳ, τὰ θεῖα πολυμαθεστάτῳ ἀνδρὶ, Δαυὶδ ὁ Οἰχέλιος εὖ πράττειν.



Ἀνάχαρσις ὁ σκύθης, κύριε σεβασμιώτατε, παρὰ μὲν τοῖς ἕλλησιν ἐθαυμάσθη, φήσας· Ἐμοὶ περίβλημα, χλαῖνα· δεῖπνον, γάλα, τυρός: παρὰ δὲ τοῖς ῥωμαίοις Μάνιος εὐδοκίμησεν ὁ Κούριος, διά τε τῆς οἰκήσεως τὸ λιτὸν, καὶ διότι πρὸς ἐσχάρᾳ καθήμενος ἕψειν γογγυλίδας εὑρέθη. θαύματος ἠξίωσαν καὶ τὸ Ἡρακλείτου, πρὸς τοὺς ξένους εἰπόντος (τοὺς βουλομένους αὐτῷ ἐντυχεῖν· οἳ, ἐπειδὴ προσιόντες εἶδον αὐτὸν θερόμενον πρὸς τῷ ἰπνῷ, ἔστησαν:) εἰσιέναι θαῤῥοῦντας, εἶναι γὰρ κἀνταῦθα θεούς. ποῖα δὲ ταῦτα, καὶ παραπλήσια, ἢ κατορθώματα ἢ ἀποφθέγματα; οὐχὶ φροῦδα πάντα, καὶ (ὥς φησί που ὁ Κύριλλος) εἰκαιόμυθα, πρὸς τὰ τῶν χριστιανῶν ἄν τις αὐτὰ συγκρίνειε; καθάπερ γὰρ ἀνδριὰς ἀκέφαλος, ὁπωσδήποτε τῇ κατασκευῇ διαφέρων, τέχνης ἐμμελέτημα, ἐξευτελίζεται: οὕτω πᾶν ὁ, ποιοῦ εἴτε φθέγμα εἴτε ἔργον, ἠμελὲς νομίζεται καὶ ἀκατασκεύα-

Clem. Alex. Str. I.

Plut. vita M. Catonis.

Aristot. 1. de partib. animal. 4.

στον, μὴ ἀρετῇ φιλοθέῳ διαπρέπον. Οἵων λόγων τε σπουδαίων, καὶ πράξεων θεαρέστων, ὑποδείγματα πάμπολλα ἐν ταῖς ἐκκλησιαστικαῖς βίβλοις καταγράφεται ἄλλων τε, καὶ Ἀντωνίου τοῦ ἐρημίτου, ἀνδρὸς τῷ ὄντι θεοτιμήτου· οὗ τὸν βίον ὁ μέγας Ἀθανάσιος, τῆς θείας φιλοσοφίας ἀρχέτυπον, εἰς γενεὰς παρέπεμψε. Τούτου τὴν ἀξιαφήγητον ἱστορίαν μεθερμηνεῦσαι, καὶ ἐκδοῦναι εἰς φῶς ἀποτολμήσας, ὀλίγων ὅσων, τοῦ ὠφελῆσαι τοὺς φιλολόγους, παρασημειωθέντων, σοί, εὐλαβέστατε κύριε, προσφωνεῖν ἠβουλόμην, διά τε τὸ ὁμώνυμον τῷ ἁγίῳ, καὶ τὸ τοῦ ζῆν συγγενές. καὶ γὰρ καὶ σοὶ ἤρεσε

δεσμὰ γάμοιο φυγόντι, θεῷ καθ' ὅλον σ' ἱερῶσαι
οὐρανίῳ, κόσμου λυόμενον χθονίου.

Τῆς σῆς φιλοφροσύνης ἔσται, τὸ μοὶ τολμηθὲν, ἢ παροραθὲν, εὖ θέσθαι. ἔρρωσο τιμία κεφαλή. Ἐκ τῆς τῶν Βινδελικῶν Αὐγούστης, τῇ ς'. ἐπὶ δέκα Γαμηλιῶνος, ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας αχιά. ὁ σωτήριόν σοι καὶ μακαριστὸν εὔχομαι.

DE ANTONIO EREMITA, HERMIAS SOZOMENUS, lib. 1. cap. 13, Eccl. hist.

Παρ' ἄλλοις οὐκ ἔστιν εὑρεῖν ταύτην τοῦ βίου τὴν διαγωγήν. ὅθεν συμβάλλω, ἐξ ἐκείνου παρ' αἰγυπτίοις ἀκμάσαι ταύτην τὴν φιλοσοφίαν. ἄλλοι δέ φασιν, αἰτίαν ταύτῃ παρασχεῖν τοὺς κατὰ καιρὸν τῇ θρησκείᾳ συμβάντας διωγμούς. ἐπεὶ γὰρ φεύγοντες ἐν ὄρεσι καὶ ἐρημίαις καὶ νάπαις τὰς διατριβὰς ἐποιοῦντο, ἐθάδες τοῦ βίου τούτου ἐγένοντο.

Ἀλλ' εἴτε αἰγύπτιοι, εἴτε ἄλλοι τινὲς, ταύτης προὔστησαν ἐξ ἀρχῆς τῆς φιλοσοφίας· ἐκεῖνα γοῦν παρὰ πᾶσι συνωμολόγηται, ὡς εἰς ἄκρον ἀκριβείας, καὶ πλειότητος ἤθεσι, καὶ γυμνασίοις τοῖς πρέπουσιν, ἐξήσκησε ταύτην τοῦ βίου τὴν διαγωγὴν Ἀντώνιος ὁ μέγας μοναχός. ὃν τηνικαῦτα διαπρέποντα ἐν ταῖς κατ' αἴγυπτον ἐρήμοις, κατὰ κλέος τῆς τοῦ ἀνδρὸς ἀρετῆς, φίλον ἐποιήσατο κωνσταντῖνος ὁ βασιλεὺς, καὶ γράμμασιν ἐτίμα, καὶ περὶ ὧν ἐδεῖτο γράφειν προὐτρέπετο. Ἐγένετο δὲ οὗτος αἰγύπτιος, τῶν γένει τῶν εὐπατριδῶν ἀπὸ Κομᾶ· κώμη δὲ αὕτη ὁμοῦ ἡρακλείας τοῖς παρ' αἰγυπτίοις ἄρκασι. Βούπαις δὲ καταλειφθεὶς ὀρφανὸς, τοὺς μὲν πατρῴους ἀγροὺς ἐδωρήσατο τοῖς κωμήταις· τὴν δὲ ἄλλην οὐσίαν διαθεὶς, τὸ τίμημα τοῖς πενομένοις διένειμε. σπουδαίου γὰρ εἶναι φιλοσόφου κατιδεῖν, μὴ μόνον ἑαυτὸν γυμνῶσαι χρημάτων· ἀλλὰ καὶ εἰς δέον ταῦτα ἀναλῶσαι. συγγενόμενος δὲ τοῖς κατ' αὐτὸν σπουδαίοις, τὰς πάντων ἐζήλωσεν ἀρετάς. δοκιμάσας δὲ, τὸν ἀγαθὸν βίον, ἡδὺν ἔσεσθαι τῇ συνηθείᾳ, καὶ χαλεπὸν ὄντα τὰ πρῶτα: τρόπους περινοῶν συντονωτέρας ἀσκήσεως, ἐσημέραι ἐπεδίδου τῇ ἐγκρατείᾳ. καὶ ὡς ἀεὶ ἀρχόμενος, ἀνενέου τὴν προθυμίαν: ταῖς μὲν ταλαιπωρίαις τοῦ σώματος τὰς ἡδονὰς κολάζων, θεοσόφῳ δὲ προαιρέσει τοῖς πάθεσι τῆς ψυχῆς ἀντιταττόμενος.

ἦν δὲ αὐτῷ τροφὴ, μόνος ἄρτος καὶ ἅλας· ὕδωρ δὲ, ποτόν. καὶ ἀρίστου
καιρὸς, δυόμενος ἥλιος. πολλάκις δὲ δύο καὶ πλείους ἡμέρας διέμενεν
ἄσιτος. ἠγρύπνει δὲ ἀεὶ μὲν, ὡς εἰπεῖν, ὁλοκλήρους νύκτας: καὶ εὐχόμε-
νος, τὰς ἡμέρας ἐφήπλετο. εἰ δὲ ἄρα καὶ ὕπνου ἐγεύσατο, ἐπὶ ῥιπὸς ἀκα-
ριαῖον ἐκάθευδε τὰ πολλὰ δὲ καὶ χαμαὶ κείμενος, αὐτὴν μόνην τὴν γῆν
ἢ λείπει ἴσ. κλίνην *ἐποιεῖτο. ἐλαίου τε τὴν ἀλοιφὴν, καὶ λουτρῶν καὶ παρὰ πλησίων τὴν χρῆσιν,
παρῃτεῖτο· ὡς ὑγρότητι τὸ σύντονον τοῦ σώματος εἰς τὸ χαῦνον μετα-
βάλλουσαν. φασὶ δὲ μήτε γυμνὸν αὐτὸν θεασάμενον ἔν τινι. γράμματα
δὲ οὐδὲ ἠπίστατο, οὐδὲ ἐθαύμαζεν: ἀλλὰ νοῦν ἀγαθὸν, ὡς πρεσβύτερον τῶν
γραμμάτων, καὶ αὐτὸν τούτων εὑρετὴν, ἐπῄνει. ἐγένετο δὲ πρᾷος τὰ
μάλιστα, καὶ φιλανθρωπότατος, καὶ ἐχέφρων, καὶ αἰδήμων· χαρίεις
τε τοῖς ἐντυγχάνουσι, καὶ ἄλυπος οἷς διελέγετο, εἰ καὶ ἐριστικῶς τὰς
διαλέξεις ἐποιοῦντο. σοφῶς γάρ πως τῷ οἰκείῳ ἤθει, καὶ ἐπιστήμῃ τινὶ,
φιλονεικίαν αὐξομένην κατέπαυε, καὶ πρὸς μέτρον μετετίθει, καὶ τῶν
ὁμιλούντων αὐτῷ τὸν τόνον ἐκίρνα, καὶ τοὺς τρόπους ἐρρύθμιζε. διὰ το-
σούτων δὲ ἀρετῶν ἔμπλεως θείας προγνώσεως γεγονὼς, οὐχ ἡγεῖτο
ἀρετὴν προειδέναι τὸ μέλλον· καὶ διὰ τοῦτο μὴ ποιεῖν εἰκῇ περὶ τοῦτο,
συνεβούλευεν: οὔτε τὸν ἀγνοοῦντα τὰ ἐσόμενα, εὐθύνας ὑφέξειν· οὔτε
τὸν εἰδότα παρὰ τοῦτο ζηλωτὴν ἔσεσθαι, ἀποφαινόμενος. τὸ γὰρ ἀλη-
θῶς μακάριον ὑπάρχειν, ἐν τῷ σέβειν τὸν θεὸν εἶναι, καὶ τοὺς νόμους
αὐτοῦ φυλάττειν. εἰ δὲ καὶ τούτου (φησὶ) μέλει τῳ· καθαρευέτω τὴν
ψυχήν. ταύτῃ γὰρ δύνασθαι διορατικὴν αὐτὴν ποιεῖν, καὶ τῶν ἐσομένων
ἐπιστήμονα, τοῦ θεοῦ τὸ μέλλον προαναφαίνοντος. ἀργεῖν δὲ οὔτε αὐ-
τὸς ἠνείχετο: καὶ τὸν μέλλοντα καλῶς βιοῦν, ἐργάζεσθαι παρεκελεύετο,
καὶ καθ' ἑαυτὸν ἀνακρίνειν, καὶ λόγον τιθέναι ὧν ἐποίησε νύκτωρ καὶ
καθ' ἡμέραν. εἰ δέ τι μὴ δέον πέπραχεν, ἀναγράφεσθαι τοῦτο: ἵνα τοῦ
λοιποῦ φείδηται τῶν ἁμαρτημάτων, ἑαυτὸν αἰδούμενος, εἰ πολλὰ
ἢ ἴσ. αὐτοῦ εὕροι γεγραμμένα· ἅτε δεδιὼς, μὴ φωραθείσης *αὐτῷ τῆς γραφῆς,
κατάδηλος ἄλλοις γένηται μοχθηρὸς ὤν. οὐ μὴν ἀλλὰ καὶ περὶ τὰς
προστασίας τῶν ἀδικουμένων, εἰ καί τις ἄλλος, ὑπερφυῶς σπουδαιό-
τατος ἐγένετο· καὶ τούτων ἕνεκα πολλάκις εἰς τὰς πόλεις ἐφοίτα, παρα-
δυρόμενοι

δυρόμενοι γὰρ αὐτῷ πολλοὶ, ἐβιάζοντο πρεσβεύειν ὑπὲρ αὐτῶν πρὸς τοὺς ἄρχοντας καὶ τοὺς ἐν τέλει. πολλοῦ γὰρ ἂν ἕκαστος ἐτιμήσατο ἰδεῖν αὐτὸν, καὶ λαλοῦντος αὐτοῦ ἀκοῦσαι, καὶ κελεύοντι πειθαρχῆσαι. ἐπεὶ καὶ τηλικοῦτος ὢν, ἐσπούδαζεν ἀγνοεῖσθαι, καὶ ἐν ταῖς ἐρημίαις λανθάνειν. εἰ δὲ καὶ βιασθείς ποτε εἰς πόλιν ἦλθεν, ἐπικυρῆσαι δεομένοις· διαθεὶς ὅτου χάριν παρεγένετο· αὐτίκα ἐπὶ τὴν ἔρημον ἐπανήει. τοὺς μὲν γὰρ ἰχθύας ἔλεγε τὴν ὑγρὰν οὐσίαν τρέφειν, μοναχοῖς δὲ κόσμον φέρειν τὴν ἔρημον· ἐπίσης τε τοὺς μὲν ξηρᾶς ἁπτομένους, τὸ ζῆν ἀπολιμπάνειν· τοὺς δὲ τὴν μοναστικὴν σεμνότητα ἀπολλύειν, τοῖς ἄστεσι προσιόντας. πειθήνιον δὲ καὶ κεχαρισμένον τοῖς ὁρῶσιν αὐτὸν παρέχων· ἐπιμελεῖτο μήτι φύσιν ὑπερορῶσαν ἔχειν, μήτι δοκεῖν εἶναι τοιοῦτο.

Ἀλλὰ ταῦτα μὲν μικρὰ ἄθλα τῶν Ἀντωνίου πολιτευμάτων εἰπεῖν προήχθην· * ἐν ὑποδείγματι χρώμενος τοῖς εἰρημένοις, ἀναλογισώμεθα τοῦ ἀνδρὸς τὴν φιλοσοφίαν. πλείστους δὲ εὐδοκιμωτάτους μαθητὰς ἔσχεν. ὧν οἱ μὲν ἐν αἰγύπτῳ καὶ λιβύῃ, οἱ δὲ ἐν παλαιστίνῃ καὶ συρίᾳ καὶ ἀραβίᾳ διέπρεψαν. καὶ ἕκαστος οὐχ ἧττον, ἢ ὁ διδάσκαλος, παρ᾽ οἷς διέτριβε, διεβίω τε καὶ ἐπολιτεύσατο, καὶ πολλοὺς ἐπαίδευσε, καὶ εἰς τὴν ὁμοίαν ἀρετὴν καὶ φιλοσοφίαν ἤγαγεν· ὥστε ἔργον εἶναι κατὰ πόλεις καὶ χώρας * πλείονα ἐπιμελῶς ζητεῖν τοὺς Ἀντωνίου ἑταίρους, ἢ τοὺς τούτων διαδόχους. πῶς γὰρ καὶ ῥᾳδία γένοιτο τούτων ἡ εὕρεσις, οἷς ἐν τῷ βίῳ λανθάνειν ἐσπούδαζετο ἐπιμελέστερον, ἢ πολλοὶ τῶν νῦν ἀνθρώπων ὑπὸ φιλοτιμίας τυφώμενοι πομπεύουσιν ἑαυτοὺς καὶ καταδήλους ποιοῦσιν. ἐγένοντό γε μὴν εὐδοκιμώτατοι, ὧν παρειλήφαμεν Ἀντωνίου μαθητῶν, ἄλλοι τε πολλοὶ, καὶ παῦλος ὁ ἐπίκλην ἁπλοῦς.

* ἴσ. ὡς ὑποδ. χρώμενοι.

* πλείονος

Idem lib. VI. cap. 33.

Φασὶ τὸν Ἀώνην τὸν ἐκτὸς πάντων ἀνθρώπων καὶ ἀκριβοῦς φιλοσοφίας ἄρξασθαι παρὰ σύροις, ὥσπερ Ἀντώνιον παρ᾽ αἰγυπτίοις.

INDEX

INDEX AVTORVM QVI IN NOTIS vel citantur vel emendantur.

FINIS.

GREG. NAZ. ORATIONE IN LAVDEM S. Athanaſij.

Πάντα μὲν τὰ ἐκείνου (τοῦ Ἀθανασίου) λέγειν τε καὶ θαυμάζειν, μακρότερον ἂν εἴη τυχὸν, ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν τοῦ λόγου· καὶ ἱστορίας ἔργον, οὐκ εὐφημίας· ἃ καὶ ἰδίᾳ παραδοῦναι γραφῇ παίδευμά τι καὶ ἥδυσμα τοῖς εἰς ὕστερον, εὐχῆς ἔργον ἐμοί· ὥσπερ ὃν ἐκεῖνος Ἀντωνίου τοῦ θείου βίον συνέγραψε, τοῦ μοναδικοῦ βίου νομοθεσίαν, ἐν πλάσματι διηγήσεως.

Atq; omnem quidem illius (Athanaſij) vitam ſermone proſequi, ac laudibus efferre, longius fortaſſe fuerit, quàm orationis inſtitutum ferat; atq; hiſtoriæ opus fuerit, non encomij: quam etiam, ut poſteris documento atq; oblectationi futuram, proprio ſcripto mandare cum primis optarem; quemadmodum ipſe D. Antonij vitam conſcripſit, quum vitæ monaſticæ leges ſub narrationis ſpecie promulgaret.

SOCRAT. ECCLES. HIST. lib. I. cap. 21.

Ὁποῖος ἦν ἐπὶ τῶν αὐτῶν χρόνων καὶ ὁ μοναχὸς Ἀντώνιος ἐν τῇ ἐρήμῳ τῆς Αἰγύπτου· ὃς φανερῶς τοῖς δαίμοσιν ἀντεπάλαιεν, ἐφευρίσκων τε αὐτοῖς τὰς τέχνας αὐτῶν καὶ τοὺς ἄθλους, καὶ ὅπως πολλὰ ἐποίει τεράστια· περιττὸν λέγειν ἡμᾶς· ἔφθασε γὰρ Ἀθανάσιος, ὁ Ἀλεξανδρείας ἐπίσκοπος, μονόβιβλον εἰς τὸν αὐτοῦ βίον ἐκθέμενος.

Qualis vitâ & moribus Antonius monachus in ſolitudine Ægypti, eiſdem fuerit temporibus, quomodo cum dæmonibus palàm & apertè dimicarit, illorum aſtutias & callidas pugnas deprehenderit, multa prodigia & miracula ediderit: quoniam ab Athanaſio Alexandriæ epiſcopo, in libro ſeparatim de eius vita conſcripto iam pridem expoſitum eſt, eadem nos commemorare, planè videtur ſupervacaneum.

A

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ἡμῶν Ἀντωνίου, συγγραφεὶς, καὶ ἀποσταλεὶς πρὸς τοὺς ἐν τῇ ξένῃ μοναχούς, παρὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας.



Ἀγαθὴν ἅμιλλαν ἐνεστήσασθε πρὸς τοὺς ἐν Αἰγύπτῳ μοναχούς, ἤτοι παρισωθῆναι, ἢ καὶ ὑπερβαλέσθαι τούτους προελόμενοι, τῇ κατ' ἀρετὴν ὑμῶν ἀσκήσει. καὶ γὰρ παρ' ὑμῖν λοιπὸν μοναστήρια, καὶ τὸ τῶν μοναχῶν σχῆμα πολιτεύεται. ταύτην μὲν οὖν τὴν πρόθεσιν δικαίως ἄν τις ἐπαινέσειε. καὶ εὐχομένων ἡμῶν, ὁ θεὸς πληρώσειεν. ἐπειδὴ δὲ ἀπητήσατε καὶ παρ' ἐμοῦ περὶ τῆς πολιτείας τοῦ ἁγίου Ἀντωνίου, μαθεῖν θέλοντες ὅπως τε ἤρξατο τῆς ἀσκήσεως, καὶ τίς ἦν πρὸ ταύτης, καὶ ὁποῖον ἔσχε τοῦ βίου τὸ τέλος, καὶ ἢ ἀληθῆ τὰ περὶ αὐτοῦ λεγόμενά ἐστιν; ἵνα καὶ πρὸς τὸν ἐκείνου ζῆλον ἑαυτοὺς ἀγάγητε: μετὰ πολλῆς προθυμίας ἐδεξάμην τὸ παρ' ὑμῶν ἐπίταγμα. κἀμοὶ γὰρ μέγα κέρδος ὠφελείας ἐστὶ καὶ τὸ μόνον Ἀντωνίου μνημονεύειν. οἶδα δὲ ὅτι καὶ ὑμεῖς ἀκούσαντες, μετὰ τοῦ θαυμάσαι τὸν ἄνθρωπον, θελήσετε καὶ ζηλῶσαι τὴν ἐκείνου πρόθεσιν. ἔστι γὰρ μοναχοῖς ἱκανὸς χαρακτὴρ πρὸς ἄσκησιν ὁ Ἀντωνίου βίος. οἷς μὲν οὖν ἠκούσατε περὶ αὐτοῦ παρὰ τῶν ἀπαγγειλάντων μὴ ἀπιστήσητε, ὀλίγα δὲ μᾶλλον ἀκηκοέναι παρ' αὐτῶν νομίζετε. πάντως γὰρ κἀκεῖνοι μόγις τοσαῦτα διηγήσαντο· ἐπεὶ κἀγώ, προτραπεὶς παρ' ὑμῶν, ὅσα ἂν διὰ τῆς ἐπιστολῆς σημαίνω, ὀλίγα τῶν ἐκείνου μνημονεύσας ἐπιστέλλω. καὶ ὑμεῖς δὲ μὴ παύσησθε τοὺς ἐνθένδε πλέοντας ἐρωτᾶν· ἴσως γὰρ, ἑκάστου λέγοντος ὅπερ οἶδε, μόγις ἐπαξίως ἡ περὶ ἐκείνου γένηται διήγησις. ἐβουλόμην μὲν οὖν, δεξάμενος ὑμῶν τὴν ἐπιστολήν, μεταπέμψασθαί τινας τῶν μοναχῶν, τῶν μάλιστα πυκνότερον εἰωθότων πρὸς αὐτὸν παραγίνεσθαι· ὡς ἄν τι πλέον μαθὼν

πληρέ-

VITA S. PATRIS NOSTRI ANTONII, conscripta & missa ad monachos peregrinos à D. patre Athanasio, Alexandriæ archiepiscopo.

PRaeclarum certamen cum Monachis in Aegypto suscepistis, dum ijs virtutum exercitatione aut aquari, aut etiam antecellere, constituistis. Nam & apud vos jam sunt monasteria, & monachorum ritus seruatur. Hoc igitur propositum jure quis laudauerit; vobisq; precantibus, Deus perficiet. Caeterùm quia expetijstis, & à me cognoscere voluistis, rationem vitae S. Antonij; quod Asceticae primordium is ceperit, quis fuerit antea, quisq; vitae ejus exitus? verá ne sint quae de illo dicantur? ut ipsius zelum sectari possitis: mandatum vestrum cupidissimè accepi. Nam & mihi magno est lucro atq; emolumento, vel solùm Antonij meminisse. Scio autem vos quoq;, ubi audieritis, hominis admiratione, institutum illius aemulaturos esse. Vita enim Antonij character est, Monachis ad Asceticam abunde positus. Iis igitur quae de ipso alios nunciare audijstis, fidem ne derogetis; quin pauca potiùs ex his vos audijsse, existimetis: omnino enim etiam illi vix tam multa narrarunt. Siquidem & ego, quaecunq; cohortatione vestra per epistolam significaro, partem duntaxat exiguam eorum quae egit commemoratam scripsero. Verùm vos quoq; pergite hinc [istuc] nauigaturos interrogare: fortassis nanq;, ut quilibet dicat quod norit, vix pro dignitate ac merito ipsius narratio fiet. Literis itaq; vestris mihi redditis, monachos quosdam accersere visum est, qui maximè omnium frequenter illi adesse consueuerunt: ut, pluribus cognitis, pleniùs de ijs per

 epistolam

epistolam vos certiores facerem. Et quoniam nauigandi tempus me veluti conclusit, ac tabellarius festinauit : ideò quæ & ipse noui (sæpe etenim illum vidi) quæq; ex eo cognoscere potui, qui interuallum haud modicum illi seruijt, lauantiq; manus aquam affudit, Pietati vestræ studui, ratione veritatis ubique habita, scribere; ne, qui plura audijsset, diffideret; neq; rursum, qui minus justo cognouisset, virum despiceret.

ANTONIVS genere fuit Aegyptius, à nobilibus ijsq; diuitibus parentibus oriundus. quodq; parentes essent Christiani, Christianorum more & is educabatur. ac puer adhuc apud parẽtes nutriebatur, præter quos et domũ aliud nôrat nihil. postea verò quàm creuit, atq; ætate processit: literis erudiri noluit, puerorum auersatus commercium: sed omne ipsius desiderium fuit, secundum illud quod de Iacobo est scriptum, simplicem habitare domi suæ. (Genes. 25. 27.) Verùm enimuerò cum parentibus in templum ductus, neq; ut puer erat socors; neq;, ætate progressus, negligens: sed & parentibus subditus, & lectioni attentus in suum illam usum conuertebat. Neq; rursum, ut puer mediocriter diues, parentibus erat molestus nomine varij & sumptuosi cibi, neq; voluptates huius sectabatur: sed inuentis contentus, præterea nihil requirebat. A parentum obitu, solus cum sorore admodùm parua reliquus, quum annos esset natus prope jam XVIII, aut XX: ipse tam domus quàm sororis curam gessit. Nondum autem exactis mensibus VI. ab illorum morte; templum pro more ingressus, quum, mente collectâ, inter ambulandum apud se se cogitaret, quomodo & Apostoli, omnibus relictis, Seruatorem secuti fuissent (Matth. 19. 27.); & illi in Actis pretia eorum quæ vendiderant tulissent, atq; ante Apostolorum pedes posuissent, ut inter egenos distribueretur (Act. 4, 35.); quæ item quantaq; (Colos. 1, 5.)
illis

πληρέστερον ὑμῖν ἐπιστείλω. ἐπειδὴ δὲ καὶ ὁ καιρὸς τῶν πλωΐμων συνέκλειεν, καὶ ὁ γραμματηφόρος ἔσπευδε· διὰ τοῦτο ἅπερ αὐτός τε γινώσκω (πολλάκις γὰρ αὐτὸν ἑώρακα) καὶ ἃ μαθεῖν ἠδυνήθην παρὰ τοῦ ἀκολουθήσαντος αὐτῷ χρόνον οὐκ ὀλίγον, καὶ ἐπιχέαντος ὕδωρ κατὰ χειρὸς αὐτοῦ, γράψαι τῇ εὐλαβείᾳ ὑμῶν ἐσπούδασα· πανταχοῦ τῆς ἀληθείας φροντίσας, ἵνα μήτε πλέον τις ἀκούσας ἀπιστήσῃ, μήτε πάλιν ἔλαττον τοῦ δέοντος μαθὼν, καταφρονήσῃ τοῦ ἀνδρός.

ΑΝΤΩΝΙΟΣ γένος μὲν ἦν αἰγύπτιος, εὐγενῶν δὲ γονέων καὶ περιουσίαν αὐτάρκη κεκτημένων. καὶ χριστιανῶν ὄντων αὐτῶν, χριστιανικῶς ἀνήγετο καὶ αὐτός. καὶ παιδίον μὲν ὤν, ἐτρέφετο παρὰ τοῖς γονεῦσι, πλέον αὐτῶν καὶ τοῦ οἴκου, μηδὲν ἕτερον γινώσκων. ἐπεὶ δὴ δὲ καὶ αὐξήσας ἐγένετο παῖς, καὶ προέκοπτε τῇ ἡλικίᾳ, γράμματα μὲν μαθεῖν οὐκ ἠνέσχετο, βουλόμενος ἐκτὸς εἶναι καὶ τῆς πρὸς τοὺς παῖδας συνηθείας. τὴν δὲ ἐπιθυμίαν πᾶσαν εἶχε, κατὰ τὸ γεγραμμένον περὶ τοῦ ἰακὼβ, ὡς ἄπλαστος οἰκεῖν ἐν τῇ οἰκίᾳ αὐτοῦ. συνήγετο μέντοι μετὰ τῶν γονέων ἐν τῷ κυριακῷ, καὶ οὔτε ὡς παῖς ἐρρᾳθύμει, οὔτε ὡς τῇ ἡλικίᾳ προκόπτων κατεφρόνει· ἀλλὰ καὶ τοῖς γονεῦσιν ὑπετάσσετο, καὶ τοῖς ἀναγνώσμασι προσέχων, τὴν ἐξ αὐτῶν ὠφέλειαν ἐν ἑαυτῷ διετήρει. οὔτε δὲ πάλιν ὡς παῖς ἐν μετρίᾳ περιουσίᾳ τυγχάνων ἠνώχλει τοῖς γονεῦσι, ποικίλης καὶ πολυτελοῦς ἕνεκα τροφῆς, οὔτε τὰς ἐκ ταύτης ἡδονὰς ἐζήτει· μόνοις δὲ οἷς ηὕρισκεν ἠρκεῖτο, καὶ πλέον οὐδὲν ἐζήτει. μετὰ δὲ τὸν θάνατον τῶν γονέων, αὐτὸς μόνος κατελείφθη μετὰ μιᾶς βραχυτάτης ἀδελφῆς· καὶ ἦν ἐτῶν ἐγγὺς δέκα καὶ ὀκτὼ, ἢ καὶ εἴκοσι, γεγονὼς, αὐτός τε τῆς οἰκίας καὶ τῆς ἀδελφῆς ἐφρόντιζεν. οὔπω δὲ μῆνες ἓξ παρῆλθον τοῦ θανάτου τῶν γονέων αὐτοῦ, καὶ κατὰ τὸ εἰωθὸς παρερχόμενος εἰς τὸ κυριακὸν, καὶ συνάγων αὐτοῦ τὴν διάνοιαν, ἐλογίζετο περιπατῶν, πῶς οἱ μὲν ἀπόστολοι πάντα καταλιπόντες ἠκολούθησαν τῷ σωτῆρι· οἱ δὲ ἐν ταῖς πράξεσι πωλοῦντες τὰ ἑαυτῶν, ἔφερον καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων, εἰς διάδοσιν τῶν χρείαν ἐχόντων· τίς τε καὶ

πόση τούτοις ἐλπὶς ἐν οὐρανοῖς ἀπόκειται: ταῦτα δὴ ἐνθυμούμενος, εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν. καὶ συνέβη τότε τὸ εὐαγγέλιον ἀναγινώσκεσθαι, καὶ ἤκουσε τοῦ κυρίου λέγοντος τῷ πλουσίῳ. Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησον πάντα τὰ ὑπάρχοντά σου καὶ δὸς πτωχοῖς· καὶ δεῦρο ἀκολούθει μοι, καὶ ἕξεις θησαυρὸν ἐν τοῖς οὐρανοῖς. ὁ δὲ Ἀντώνιος ὥσπερ θεόθεν ἐσχηκὼς τὴν τῶν ἁγίων μνήμην, καὶ ὡς δι᾽ αὐτὸν γενομένου τοῦ ἀναγνώσματος· ἐξελθὼν εὐθὺς ἐκ τοῦ κυριακοῦ, τὰς μὲν κτήσεις, ἃς εἶχεν ἐκ προγόνων, (ἄρουραι δὲ ἦσαν τριακόσιαι εὔφοροι καὶ πάνυ καλαὶ) ταύτας ἐχαρίσατο τοῖς ἀπὸ τῆς κώμης, ἵνα εἰς μηδ᾽ ὁποιοῦν ὀχλήσωσιν αὐτῷ τε καὶ τῇ ἀδελφῇ. τὰ δὲ ἄλλα, ὅσα ἦν αὐτοῖς κινητὰ, πάντα πωλήσας, καὶ συναγαγὼν ἱκανὸν ἀργύριον, δέδωκε τοῖς πτωχοῖς. τηρήσας δὲ ὀλίγα, διὰ τὴν ἀδελφήν· ὡς πάλιν εἰσελθὼν εἰς τὸ κυριακὸν, ἤκουσεν ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου λέγοντος, Μὴ μεριμνήσητε περὶ τῆς αὔριον: οὐκ ἀνασχόμενος ἔτι μένειν, ἐξελθὼν διέδωκε κἀκεῖνα τοῖς μετρίοις· τὴν δὲ ἀδελφὴν παραθέμενος γνωρίμοις καὶ πισταῖς παρθένοις, δούς τε αὐτὴν εἰς παρθενῶνα ἀνατρέφεσθαι: αὐτὸς πρὸ τῆς οἰκίας ἐσχόλαζε λοιπὸν τῇ ἀσκήσει, προσέχων ἑαυτῷ καὶ καρτερικῶς ἑαυτὸν ἄγων. οὔπω γὰρ ἦν οὕτως ἐν αἰγύπτῳ συνεχῆ μοναστήρια, οὐδ᾽ ὅλως ᾔδει μοναχὸς τὴν μακρὰν ἔρημον· ἕκαστος δὲ τῶν βουλομένων ἑαυτῷ προσέχειν, οὐ μακρὰν τῆς ἰδίας κώμης καταμόνας ἠσκεῖτο. ἦν τοίνυν ἐν τῇ πλησίον κώμῃ τότε γέρων, ἐκ νεότητος μονήρη βίον ἀσκήσας· τοῦτον ἰδὼν Ἀντώνιος, ἐζήλωσεν ἐν καλῷ. καὶ πρῶτον μὲν ἤρξατο καὶ αὐτὸς μένειν ἐν τοῖς πρὸ τῆς κώμης τόποις· κἀκεῖ εἴ πού τινα σπουδαῖον ἤκουεν, προερχόμενος ἐζήτει τοῦτον, ὥσπερ σοφὴ μέλισσα· καὶ οὐ πρότερον εἰς τὸν ἴδιον τόπον ἀνέκαμπτεν, εἰ μὴ τοῦτον ἑωράκει, καὶ ὥσπερ ἐφόδιόν τι τῆς εἰς ἀρετὴν ὁδοῦ παρ᾽ αὐτοῦ λαβὼν, ἐπανήει. ἐκεῖ τοίνυν τὰς ἀρχὰς διατρίβων, τὴν διάνοιαν ἐστάθμιζεν, ὅπως πρὸς μὲν τὰ τῶν γονέων μὴ ἐπιστρέφηται, μηδὲ τῶν συγγενῶν μνημονεύῃ· ὅλον δὲ τὸν πόθον καὶ πᾶσαν τὴν σπουδὴν

ἔχῃ

*illis spes in cœlis reposita esset: hæc secũ ipse reputans, in Ecclesiã intrauit. Accidit tũ, ut Euangeliũ legeretur, audiretq; Dominum diuiti [cuidam] dixisse, Si vis perfectus esse, vade, vende omnia quæ habes, & da pauperibus, & veni sequere me, & habebis thesaurũ in cœlo. Antonius ergo, velut diuinitus animo ad sanctorum memoriam reuocato, & quasi propter se lecta illa fuissent; illicò egressus è tẽplo, possessiones à majoribus relictas (erant autem * campi CCC fertiles & per quàm illi amœni) vicanis dilargitus est, ne uel sibi uel sorori quicquã molestiæ adferrent. Mobilibus autẽ, quæ ipsis erant, venditis omnibus, pecuniã inde collectã satis multã pauperibus dedit. Asseruatis verò paucis propter sororẽ, [quæ & sexu & ætate videbatur infirmior;] posteaquã in templũ reuersus audijt, Dominũ in Euangelio dicere; Nolite soliciti esse in crastinũ: morã haud tolerauit; sed egressus, illa quoq; tenuioribus distribuit. Sororem notis fideq; præditis virginibus, quarũ in Parthenone educaretur atq; aleretur, cõmendauit: ipse deinceps extra ædes vitæ asceticæ dedidit se se, attẽdendo sibi, continẽterq; viuendo. Nondum enim tũ crebra erãt in Aegypto monasteria, neq; ullâ ex parte norat monachus eremũ auiã: sed unusquisq; eorũ, qui sibi ipse attendere volebat, nõ procul à suo pago solus exercebatur. Erat igitur tũ in vicino * pago senex, qui ab adolescẽtia sua vitã solitariã egerat. Eũ ut vidit Antonius, pulchrè æmulatus est. Ac primùm cæpit ipse quoq; in locis à villa remotioribus manere, ubi si quẽ audijt uirtute præditũ; eũ quæsitũ prodijt tanquã prudens apicula: neq; priùs in suũ reuersus est locũ, quàm eundẽ vidisset, acceptoq; ab illo ad virtutis iter viatico [tanquã mellis munere] discessisset. Illic itaq; initiò cõmoratus, animũ & mentẽ suã examussim ita cõformauit, ut neq; ad paterna rediret, neq; affinium memoriã repeteret: sed omne desiderium ac studium omne, esset conten-*

Matth. 19, 21.

* palmæ Evagr.

Matth. 6, 34.

* agello Evagr.

ποίᾳ τούτοις ἐλπὶς ἐν οὐρανοῖς ἀπόκειται: ταῦτα δὴ ἐνθυμούμενος, εἰσ-
ῆλθεν εἰς τὴν ἐκκλησίαν. καὶ συνέβη τότε τὸ εὐαγγέλιον ἀναγινώ-
σκεσθαι, καὶ ἤκουσε τοῦ κυρίου λέγοντος τῷ πλουσίῳ. Εἰ θέλεις τέλειος
εἶναι, ὕπαγε, πώλησόν σου πάντα τὰ ὑπάρχοντά σου καὶ δὸς πτωχοῖς· καὶ
δεῦρο ἀκολούθει μοι, καὶ ἕξεις θησαυρὸν ἐν τοῖς οὐρανοῖς. ὁ δὲ Ἀντώνιος
ὥσπερ θεόθεν ἐσχηκὼς τὴν τῶν ἁγίων μνήμην, καὶ ὡς δι' αὐτὸν γενομέ-
νου τοῦ ἀναγνώσματος· ἐξελθὼν εὐθὺς ἐκ τοῦ κυριακοῦ, τὰς μὲν κτή-
σεις, ἃς εἶχεν ἐκ προγόνων, (ἄρουραι δὲ ἦσαν τριακόσιαι εὔφοροι καὶ
πάνυ καλαὶ) ταύτας ἐχαρίσατο τοῖς ἀπὸ τῆς κώμης, ἵνα εἰς μηδ' ὁ-
ποιοῦν ἐχλήσωσιν αὐτῷ τε καὶ τῇ ἀδελφῇ. τὰ δὲ ἄλλα, ὅσα ἦν αὐτοῖς
κινητὰ, πάντα πωλήσας, καὶ συναγαγὼν ἱκανὸν ἀργύριον, δέδωκε
τοῖς πτωχοῖς. τηρήσας δὲ ὀλίγα, διὰ τὴν ἀδελφὴν· ὡς πάλιν εἰσ-
ελθὼν εἰς τὸ κυριακὸν, ἤκουσεν ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου λέγοντος,
Μὴ μεριμνήσητε περὶ τῆς αὔριον: οὐκ ἀναχόμενος ἔτι μένειν, ἐξελ-
θὼν διέδωκε κἀκεῖνα τοῖς μετρίοις. τὴν δὲ ἀδελφὴν παραθέμενος
γνωρίμοις καὶ πισταῖς παρθένοις, δοὺς τε αὐτὴν εἰς παρθενῶνα ἀνατρέ-
φεσθαι: αὐτὸς πρὸ τῆς οἰκίας ἐσχόλαζε λοιπὸν τῇ ἀσκήσει, προσέχων
ἑαυτῷ καὶ καρτερικῶς ἑαυτὸν ἄγων. οὔπω γὰρ ἦν οὕτως ἐν αἰγύπτῳ
συνεχῆ μοναστήρια, οὐδ' ὅλως ᾔδει μοναχὸς τὴν μακρὰν ἔρημον· ἕ-
καστος δὲ τῶν βουλομένων ἑαυτῷ προσέχειν, οὐ μακρὰν τῆς ἰδίας κώμης
καταμόνας ἠσκεῖτο. ἦν τοίνυν ἐν τῇ πλησίον κώμῃ τότε γέρων, ἐκ
νεότητος μονήρη βίον ἀσκήσας· τοῦτον ἰδὼν Ἀντώνιος, ἐζήλωσεν ἐν
καλῷ. καὶ πρῶτον μὲν ἤρξατο καὶ αὐτὸς μένειν ἐν τοῖς πρὸ τῆς κώμης
τόποις· κἀκεῖ εἴ που τινὰ σπουδαῖον ἤκουεν, προερχόμενος ἐζήτει τοῦ-
τον, ὥσπερ σοφὴ μέλισσα· καὶ οὐ πρότερον εἰς τὸν ἴδιον τόπον ἀνέκαμ-
πτεν, εἰ μὴ τοῦτον ἑωράκει, καὶ ὥσπερ ἐφόδιόν τι τῆς εἰς ἀρετὴν ὁδοῦ παρ'
αὐτοῦ λαβὼν, ἐπανήει. ἐκεῖ τοίνυν τὰς ἀρχὰς διατρίβων, τὴν δι-
άνοιαν ἐστάθμιζεν, ὅπως πρὸς μὲν τὰ τῶν γονέων μὴ ἐπιστρέφηται, μη-
δὲ τῶν συγγενῶν μνημονεύῃ· ὅλον δὲ τὸν πόθον καὶ πᾶσαν τὴν σπουδὴν
ἔχῃ

*illis spes in cœlis reposita esset: hæc secũ ipse reputans, in Ecclesiã intrauit. Accidit tũ, ut Euangeliũ legeretur, audiretq; Dominum diuiti [cuidam] dixisse, Si vis perfectus esse, vade, vende omnia quæ habes, & da pauperibus, & veni sequere me, & habebis thesaurũ in cœlo Antonius ergo, velut diuinitus animo ad sanctorum memoriam reuocato, & quasi propter se lecta illa fuissent; illicò egressus è tẽplo, possessiones à majoribus relictas (erant autem *campi CCC fertiles & per quàm illi amœni) vicanis dilargitus est, ne uel sibi uel sorori quicquã molestiæ adferrent. Mobilibus autẽ, quæ ipsis erant, venditis omnibus, pecuniã inde collectã satis multã pauperibus dedit. Asseruatis verò paucis propter sororẽ, [quæ & sexu & ætate videbatur infirmior;] posteaquã in templũ reuersus audijt, Dominũ in Euangelio dicere; Nolite soliciti esse in crastinũ: morã haud tolerauit; sed egressus, illa quoq; tenuioribus distribuit. Sororem notis fideq; præditis virginibus, quarũ in Parthenone educaretur atq; aleretur, cõmendauit: ipse deinceps extra ædes vitæ asceticæ dedidit se se, attẽdendo sibi, continẽterq; viuendo. Nondum enim tũ crebra erãt in Aegypto monasteria, neq; ullâ ex parte norat monachus eremũ auiã: sed unusquisq; eorũ, qui sibi ipse attendere volebat, nõ procul à suo pago solus exercebatur. Erat igitur tũ in vicino * pago senex, qui ab adolescẽtia sua vitã solitariã egerat. Eũ ut vidit Antonius, pulchrè æmulatus est. Ac primùm cœpit ipse quoq; in locis à villa remotioribus manere. ubi si quẽ audijt uirtute præditũ; eũ quæsitũ prodijt tanquã prudens apicula: neq; priùs in suũ reuersus est locũ, quàm eundẽ vidisset, acceptoq; ab illo ad virtutis iter viatico [tanquã mellis munere] discessisset. Illic itaq; initiò cõmoratus, animũ & mentẽ suã examussim ita cõformauit, ut neq; ad paterna rediret, neq; affinium memoriã repeteret: sed omne desiderium ac studium omne, esset conten-*

Matth. 19, 21.

* palmæ Evagr.

Matth. 6, 34.

* agello Evagr.

*tionis Ascetica. Caterùm, operabatur manibus, quòd audisset; Si quis non vult operari, nec manducet: unde partim ipse victitabat, partem in egenos erogabat. Frequenter orabat, quòd didicisset: Secretò esse orandum sine intermissione. Lectioni etenim sic attendebat, ut nihil eorum quæ scripta essent ipsi excideret, sed omnia retineret, eiq; de cætero * mens librorum loco esset. Vita sic instituta, Antonius ab omnibus diligebatur; ijs, quos adibat virtute præditos, verè subditus. Ac cognita, in qua unusquisq; studij exercitatione excelleret: hujus * morum elegantiam, illius precandi assiduitatē contemplabatur; unius lenitatem, alterius humanitatem considerabat; hujus vigilias, illius literarum amorem attentè obseruabat; in hoc tolerantiā, in illo jejunia & humi cubationes admirabatur; hujus mansuetudinem, illius longanimitatem notabat; omnium deniq; simul pietatem in Christum, & mutuum inter sese amorem quasi in animo signabat; itaq; consummatus in sui asceterij locū rediјt, & quæ à singulis cunq; sibi ipse colligebat, ea dehinc vitâ exprimere omnia studuit. Nullum ipsi cum æqualibus fuit contentionis studium, præter hoc solum, ne in virtutum cultu secundus ab illis esse duceretur; idq; non cum cujusquā offensa, sed potiùs oblectatione. Omnes itaq; illius viciniæ, quorum is consuetudine utebatur, pulchri atq; honesti amantes, eum his præditū moribus * Dei amicum appellabant, & alij veluti filium, alij veluti * fratrem salutabant. At honesti osor atq; inuidus Diabolus hoc in adolescente propositum haud tulit; sed quæcunq; secū meditatus, ea aduersus ipsum usurpare conatus est. Ac primùm ab ascetica ipsum vita quî abduceret tentauit, redigēdo in memoriam possessiones, sororis curam, generis * cognationem, pecuniæ amorem, gloriæ cupiditatem, varias diuitiarum voluptates,*

2. Thess. 3,10.
Matth. 6,6.
1. Thess. 5,17.
1. Tim. 4,13.
* memoria Evagr.
* jucunditatem Evagr.
*Deo dilectum
* patrem Evagr.
* nobilitatem Evagr.

εἶχε περὶ τὸν τόνον τῆς ἀσκήσεως. εἰργάζετο γοῦν ταῖς χερσὶν, ἀκούσας, Ὁ δὲ ἀργὸς μὴ ἐσθιέτω· καὶ τὸ μὲν εἰς ἑαυτὸν, τὸ δὲ εἰς τοὺς δεομένους ἀνήλισκε. προσηύχετο δὲ συνεχῶς, μαθὼν ὅτι δεῖ κατ' ἰδίαν προσεύχεσθαι ἀδιαλείπτως. καὶ γὰρ προσεῖχεν οὕτω τῇ ἀναγνώσει, ὡς μηδὲν τῶν γεγραμμένων ἀπ' αὐτοῦ πίπτειν χαμαὶ, πάντα δὲ κατέχειν, καὶ λοιπὸν αὐτῷ τὴν γνώμην ἀντὶ βιβλίων γίνεσθαι. οὕτω μὲν οὖν ἑαυτὸν ἄγων, ἠγαπᾶτο παρὰ πάντων ὁ Ἀντώνιος· αὐτὸς δὲ τοῖς σπουδαίοις, πρὸς οὓς ἀπήρχετο, γνησίως ὑπετάσσετο. καὶ καθ' ἑαυτὸν ἑκάστου τὸ πλεονέκτημα τῆς σπουδῆς καὶ τῆς ἀσκήσεως κατεμάνθανε· καὶ τοῦ μὲν τὸ χαρίεν, τοῦ δὲ τὸ πρὸς τὰς εὐχὰς σύντονον ἐθεώρει· καὶ ἄλλου μὲν τὸ ἀόργητον, ἄλλου δὲ τὸ φιλάνθρωπον κατενόει· καὶ τῷ μὲν ἀγρυπνοῦντι, τῷ δὲ φιλολογοῦντι προσεῖχε· καὶ τὸν μὲν ἐν καρτερίᾳ, τὸν δὲ ἐν νηστείαις καὶ χαμευνίαις ἐθαύμαζε· καὶ τοῦ μὲν τὴν πρᾳότητα, τοῦ δὲ τὴν μακροθυμίαν παρετήρει· πάντων δὲ ὁμοῦ τὴν εἰς τὸν Χριστὸν εὐσέβειαν, καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην ἐσημειοῦτο· καὶ οὕτω πεπληρωμένος ὑπέστρεφεν εἰς τὸν ἴδιον τοῦ ἀσκητηρίου τόπον· λοιπὸν αὐτὸς τὰ παρ' ἑκάστου συνάγων εἰς ἑαυτὸν, καὶ σπουδάζων ἐν ἑαυτῷ τὰ πάντων δεικνύναι. καὶ γὰρ πρὸς τοὺς καθ' ἡλικίαν ἴσους οὐκ ἦν φιλόνεικος, ἢ μόνον ἵνα μὴ δεύτερος ἐκείνων ἐν τοῖς βελτίοσι φαίνηται· καὶ τοῦτο ἔπραττεν, ὥστε μηδένα λυπεῖν, ἀλλὰ κἀκείνους ἐπ' αὐτῷ χαίρειν. πάντες μὲν οὖν οἱ ἀπὸ τῆς κώμης φιλόκαλοι, πρὸς οὓς εἶχε τὴν συνήθειαν, οὕτως αὐτὸν ὁρῶντες, ἐκάλουν θεοφιλῆ· καὶ οἱ μὲν ὡς υἱὸν, οἱ δὲ ὡς ἀδελφὸν ἠσπάζοντο. ὁ δὲ μισόκαλος καὶ φθονερὸς διάβολος οὐκ ἤνεγκεν ὁρῶν ἐν νεωτέρῳ τοιαύτην πρόθεσιν· ἀλλ' οἷα μεμελέτηκε ποιεῖν, ἐπιχείρει καὶ κατὰ τούτου πράττειν. καὶ τὸ μὲν πρῶτον ἐπείραζεν αὐτὸν ἀπὸ τῆς ἀσκήσεως καταγαγεῖν, ὑποβάλλων μνήμην τῶν κτημάτων, τῆς ἀδελφῆς τὴν κηδεμονίαν, τοῦ γένους τὴν οἰκειότητα, φιλαργυρίαν, φιλοδοξίαν, τρυφῆς τὴν ποικίλην ἡδονὴν,

ἀνέσεις

καὶ τὰς ἄλλας * αἰνέσεις τοῦ βίου, καὶ τέλος τὸ τραχὺ τῆς ἀρετῆς, καὶ ὡς πολὺς αὐτῆς ἐστιν ὁ πόνος· τοῦ τε σώματος τὴν ἀσθένειαν ὑπετίθετο, καὶ τοῦ χρόνου τὸ μῆκος· καὶ ὅλως πολὺν ἤγειρεν αὐτῷ κονιορτὸν λογισμῶν ἐν τῇ διανοίᾳ, θέλων αὐτὸν ἀποχοινίσαι τῆς ὀρθῆς προαιρέσεως. ὡς δὲ εἶδεν ἑαυτὸν ὁ ἐχθρὸς ἀσθενοῦντα πρὸς τὴν τοῦ Ἀντωνίου πρόθεσιν, καὶ μᾶλλον καταπαλαιόμενον ὑπὸ τῆς ἐκείνου στερρότητος, καὶ ἀνατρεπόμενον τῇ πολλῇ πίστει, καὶ πίπτοντα ταῖς συνεχέσιν Ἀντωνίου προσευχαῖς: τότε δὴ τοῖς ἐπ' ὀμφαλοῦ γαστρὸς ὅπλοις ἑαυτοῦ θαρρῶν, καὶ καυχώμενος ἐπὶ τούτοις (ταῦτα γάρ ἐστιν αὐτῷ τὰ πρῶτα κατὰ τῶν νεωτέρων ἔνεδρα), προσέρχεται κατὰ τοῦ νεωτέρου· νυκτὸς μὲν αὐτὸν θορυβῶν, μεθ' ἡμέραν δὲ οὕτως ἐνοχλῶν, ὡς καὶ τοὺς ὁρῶντας αἰσθέσθαι τὴν γινομένην ἀμφοτέρων πάλην. ὁ μὲν γὰρ ὑπέβαλλε λογισμοὺς ῥυπαρούς, ὁ δὲ ταῖς εὐχαῖς ἀνέτρεπε τούτους· καὶ ὁ μὲν ἐγαργάλιζεν, ὁ δὲ ὡς ἐρυθριᾶν δοκῶν, τῇ πίστει καὶ ταῖς εὐχαῖς καὶ νηστείαις ἐτείχιζε τὸ σῶμα· καὶ ὁ μὲν διάβολος ὑπέμενεν ὁ ἄθλιος, καὶ ὡς γυνὴ σχηματίζεσθαι νυκτός, καὶ πάντα τρόπον * μιμεῖσθαι, μόνον ἵνα τὸν Ἀντώνιον ἀπατήσῃ· ὁ δὲ τὸν Χριστὸν ἐνθυμούμενος, καὶ τὴν δι' αὐτὸν εὐγένειαν, καὶ τὸ νοερὸν τῆς ψυχῆς λογιζόμενος, ἀπέσβεννυε τὸν ἄνθρακα τῆς ἐκείνου πλάνης. πάλιν ὁ μὲν ἐχθρὸς ὑπέβαλε τὸ λεῖον τῆς ἡδονῆς· ὁ δὲ ὀργιζομένῳ καὶ λυπουμένῳ ἐοικώς, τὴν ἀπειλὴν τοῦ πυρός, καὶ τοῦ σκώληκος τὸν πόνον ἐνεθυμεῖτο· καὶ ἀντιτιθεὶς ταῦτα, διέβαινε τούτων ἀβλαβής. ἦν δὲ ταῦτα πάντα πρὸς αἰσχύνην γινόμενα τοῦ ἐχθροῦ. ὁ γὰρ νομίσας ὅμοιος γίνεσθαι θεῷ, ὑπὸ νεανίσκου νῦν ἐπαίζετο· καὶ ὁ σαρκὸς καὶ αἵματος καταυχώμενος, ὑπὸ ἀνθρώπου σάρκα φοροῦντος ἀνετρέπετο. συνήργει γὰρ ὁ κύριος αὐτῷ, ὁ σάρκα δι' ἡμᾶς φορέσας, καὶ τῷ σώματι δοὺς τὴν κατὰ τοῦ διαβόλου νίκην· ὥστε τῶν οὕτως ἀγωνιζομένων ἕκαστον λέγειν, οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ θεοῦ ἡ σὺν ἐμοί. τέλος γοῦν, ὡς οὐκ ἠδυνήθη τὸν Ἀντώνιον οὐδ' ἐν τούτῳ καταβαλεῖν ὁ δράκων, ἀλλὰ καὶ ἔβλεπεν ἑαυτὸν ἐξωθούμενον ἀπὸ

μιμεῖται

τῆς

ptates, alia vitæ [laboriosæ] laxamenta; postremò virtutis duriciem, & summum ejus laborem; corporis item infirmitatem subijciendo, & temporis diuturnitatem: summa, tetris inuoluit cogitationes animi tenebris, ut à recto ipsum instituto auocaret. Verùm ubi se infirmiorem vidit, quàm qui consilium Antonij labefactaret; quin prosterni constantiâ, euerti solida fide, ac assiduis illius precibus cadere: tunc suis in umbilico ventris fretus armis, ijsq; exultans; (hæ enim sunt prima ipsius aduersus adolescentiam insidiæ;) in juuenem impetum fecit: noctu perturbando, interdiu sic vexando, ut etiam ab obuijs luctatio inter utrunq; animaduerteretur. Ille enim sordidas suggessit cogitationes, quas hic precibus auertit: ille [carnem] titillauit; hic, quippe visus erubescere, fide, precibus, jejunijs corpus muniuit: ille, miser diabolus, sustinuit; ac noctu mulieris formam repræsentando, illam per omnia est imitatus, tantùm ut Antonium deciperet; hic, Christo considerato, & nobilitate propter ipsum, atq; animi intelligentia reputata, carbonem ejus imposturæ extinxit. Rursus mollitiem ille voluptatis suggessit: hic irato & contristato similis de gehenna minis et vermis illius morsu cogitauit; quibus illi oppositis, illæsus euasit. Quæ omnia cum hostis dedecore fiebant. Ratus enim se Deo similem, ab adolescente nunc deluditur; & aduersus carnem ac sanguinem gloriatus, ab homine carnem induto prosternitur. Cooperabatur enim huic Dominus, qui nostra caussa carnem gestauit, & victoriam corpori contra diabolum dedit; ut unusquisq; verè certans dicat [cum apostolo] Non ego autem, sed gratia Dei mecum. Deniq; cum draco iste ne sic quidem Antonium posset dejicere, sed ex hujus corde vide-

Iob. 40, 11.

1. Cor. 15. 57.

Ibid. v. 10.

Marc. 9,18. *ret se extrusum: stridens (ut scriptum est) dentes, & tanquã ex se raptus; qualis est mente, talis postea visione, ater ipsi puer apparuit: & veluti succumbens, non jam rationibus adoritur ipsum, ejectus quippe dolosus ille; sed humana dehinc utens voce, inquit; Multos equidem decepi, & plurimos prostraui: nunc verò, ut in complures, ita etiam in te atq; labores tuos facto impetu debilitatus sum. Ibi Antonio sciscitante, Quis tu es, qui talia mecum loqueris? Illicò, edita voce miserabili, Ego, (inquit) carnis titillationibus aduersus juuenes utor, & spiritus fornicationis vocor. Quot temperanter viuere volentes seduxi? quot simulatè [ab honesto proposito] auocaui titillans? Ego sum propter quem etiam Propheta lapsos accusat, cum inquit; Spiritus fornicationum decepit eos: ego enim illos supplantaui. Ego tam sæpe turbaui te, ac toties sum repulsus abs te. Tum Antonius Domino gratias egit; atq; animosior contra hostem redditus, ei inquit: Tanto igitur magis es contemnendus; nam & niger es mente, & ut puer infirmus; neq; ulla mihi jam de te cura. Dominus enim mihi adjutor, & ego despiciam inimicos meos. Quibus ater iste auditis, statim fugit, verbis territus, ac propiùs adire hominem reformidauit. Hoc primum fuit Antonij præmium certaminis cum diabolo: quin potius Seruatoris etiam hoc [in] ipso præclarè factum; qui damnauit peccatum in carne, ut justificatio Legis impleretur in nobis, qui non secundum carnem ambulamus, sed secundum Spiritum. Ceterùm, neq; Antonius, quasi prostrato dæmone, securus fuit, nulla sui ratione habita: neq; hostis tanquam victus insidiari desiit. Circumibat enim denuo, tanquam leo rugiens, & causam aduersus ipsum aliquam quærebat. At Antonius, quòd è sacris literis didicisset, multas esse insidias diaboli: summa cum contentione ascetica vacabat, ratus, licet hic corporis volu-*

in Græco est mendum
Oseæ 5.
Oseæ 4,12.
Psal. 117,7.
Rom. 8, 3, 4.
1 Petr, 5, 8.
Ephes. 6,11.

τῆς καρδίας αὐτοῦ· τρίζων τοὺς ὀδόντας, κατὰ τὸ γεγραμμένον, καὶ ὥσπερ ἐξιστάμενος· οἷος ἐστι τὸν νοῦν, τοιοῦτος ὕστερον καὶ τῇ φαντασίᾳ μέλας αὐτῷ φαίνεται παῖς· καὶ ὥσπερ ὑποπίπτων, οὐκέτι μὲν λογισμοῖς ἐπέβαινεν (ἐκβέβλητο γὰρ ὁ δόλιος) λοιπὸν δὲ ἀνθρωπίνῃ χρώμενος φωνῇ, ἔλεγε: Πολλοὺς μὲν ἠπάτησα, καὶ πλείστους κατέβαλλον· νῦν δὲ ὡς ἐπὶ πολλοῖς καὶ ἐπὶ σοὶ καὶ τοῖς σοῖς πόνοις προσβαλὼν ἠσθένησα. εἶτα τοῦ Ἀντωνίου πυθομένου, Τίς εἶ σὺ ὁ τοιαῦτα λαλῶν παρ' ἐμοί; εὐθὺς ἐκεῖνος οἰκτρὰς ἠφίει φωνάς, Ἐγὼ * τὰ εἰς ταύτης γαργαλισμοὺς κατὰ τῶν νέων ἀνεδεξάμην, καὶ πνεῦμα πορνείας κέκλημαι. πόσους θέλοντας σωφρονεῖν ἠπάτησα· πόσους ὑποκρινόμενος, κατέπεισα γαργαλίζων. ἐγώ εἰμι δι' ὃν καὶ ὁ προφήτης μέμφεται τοὺς πεσόντας, λέγων· πνεύματι πορνείας * ἐπλανήθητε. δι' ἐμοῦ γὰρ ἦσαν ἐκεῖνοι σκελισθέντες. ἐγώ εἰμι ὁ πολλάκις ὀχλήσας σοι, καὶ τοσαυτάκις ἀνατραπεὶς παρὰ σοῦ. ὁ δὲ Ἀντώνιος εὐχαριστήσας τῷ κυρίῳ, καὶ καταθαρρήσας αὐτοῦ, φησὶ πρὸς αὐτόν, Πολὺ τοίνυν εὐκαταφρόνητος τυγχάνεις· καὶ γὰρ μέλας εἶ τὸν νοῦν, καὶ ὡς ἀσθενὴς παῖς· οὐδὲ μία μοι λοιπόν ἐστι φροντὶς περὶ σοῦ. κύριος γὰρ ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου. ταῦτα ἀκούσας ὁ μέλας ἐκεῖνος, εὐθὺς ἔφυγε καταπτήξας τὰς φωνάς, καὶ φοβηθεὶς ἔτι καὶ ἐγγίσαι τῷ ἀνδρί. τοῦτο πρῶτον ἆθλον Ἀντωνίου γέγονε κατὰ τοῦ διαβόλου· μᾶλλον δὲ τοῦ σωτῆρος καὶ τοῦτο γέγονεν αὐτῷ τὸ κατόρθωμα, τοῦ τὴν ἁμαρτίαν κατακρίναντος ἐν τῇ σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. ἀλλ' οὔτε Ἀντώνιος, ὡς ὑποπεσόντος τοῦ δαίμονος, ἠμέλει λοιπὸν καὶ κατεφρόνει ἑαυτοῦ· οὔτε ὁ ἐχθρὸς ὡς ἡττηθεὶς, ἐπαύετο τοῦ ἐνεδρεύειν. περιήρχετο γὰρ πάλιν ὡς λέων, ζητῶν τινὰ πρόφασιν κατ' αὐτοῦ. ὁ δὲ Ἀντώνιος μαθὼν ἐκ τῶν γραφῶν, πολλὰς εἶναι τὰς μεθοδείας τοῦ ἐχθροῦ, συντόνως ἐχρῆτο τῇ ἀσκήσει, λογιζόμενος, ὅτι εἰ καὶ μὴ ἴσχυσε

ἐπλανήθησαν

τὴν καρδίαν ἐν ἡδονῇ σώματος ἀπατῆσαι, πειρᾶται πάντως δι᾽
ἑτέρας ἐνεδρεῦσαι μεθόδου. ἔστι γὰρ φιλαμαρτήμων ὁ δαίμων.
μᾶλλον οὖν καὶ μᾶλλον ὑπεπίαζε τὸ σῶμα καὶ ἐδουλαγώγει μή πως
ἐν ἄλλοις νικήσας, ἐν ἄλλοις ὑποσυρῇ. βουλεύεται τοίνυν σκληρο-
τέραις ἀγωγαῖς ἑαυτὸν ἐθίζειν. καὶ πολλοὶ μὲν ἐθαύμαζον, αὐτὸς
δὲ ῥᾷον τὸν πόνον ἔφερεν. ἡ γὰρ προθυμία τῆς ψυχῆς πολὺν χρόνον
ἐμμείνασα, ἕξιν ἀγαθὴν ἐνειργάσατο ἐν αὐτῷ, ὥστε καὶ μικρὰν πρό-
φασιν λαμβάνουσαν παρ᾽ ἑτέρων, πολλὴν εἰς τοῦτο τὴν προθυμίαν ἐνδεί-
κνυσθαι. ἠγρύπνει γὰρ τοσοῦτον, ὡς πολλάκις καὶ ὅλην τὴν νύκτα δια-
πλεῖν αὐτὸν ἄυπνον· καὶ τοῦτο δὲ οὐχ ἅπαξ, ἀλλὰ καὶ πλειστάκις ποιῶν
ἐθαυμάζετο. ἤσθιεν τε ἅπαξ τῆς ἡμέρας μετὰ δύσιν ἡλίου· ἦν δὲ
ὅτι καὶ διὰ δύο, πολλάκις δὲ καὶ διὰ τεσσάρων μετελάμβανε. καὶ ἦν
αὐτῷ ἡ τροφή, ἄρτος καὶ ἅλας· καὶ τὸ ποτὸν, ὕδωρ μόνον. περὶ γὰρ κρε-
ῶν καὶ οἴνου περιττόν ἐστι καὶ λέγειν· ὅπου γε οὐδὲ παρὰ τοῖς ἄλλοις σπου-
δαίοις ηὑρίσκετό τι τοιοῦτον. εἰς δὲ τὸ ὑπνῶσαι ἤρκει τὸ ψιαθίον· τὸ δὲ
πλεῖστον, καὶ ἐπὶ γῆς μόνης κατέκειτο. ἀλείφεσθαι δὲ ἐλαίῳ παρῃτεῖ-
το, λέγων· μᾶλλον πρέπειν τοὺς νεωτέρους ἐκ προθυμίας ἔχειν τὴν
ἄσκησιν, καὶ μὴ ζητεῖν τὰ χαυνοῦντα τὸ σῶμα· ἀλλὰ καὶ ἐθίζειν αὐτὸ
τοῖς πόνοις, λογιζομένους τὸ τοῦ ἀποστόλου ῥητόν, τό, Ὅτ᾽ ἂν ἀσθενῶ,
τότε δυνατός εἰμι. τότε γὰρ ἔλεγεν ἰσχύειν τῆς ψυχῆς τὸν τόνον, ὅταν
αἱ τοῦ σώματος ἀσθενῶσιν ἡδοναί. καὶ ἦν αὐτῷ παράδοξος ὄντως
καὶ οὗτος ὁ λογισμός. οὐ γὰρ ἠξίου χρόνῳ μετρεῖν τὴν τῆς ἀρετῆς ὁ-
δόν, οὐδὲ τὴν δι᾽ αὐτὴν ἀναχώρησιν· ἀλλὰ πόθῳ καὶ τῇ προαιρέσει.
αὐτὸς γοῦν οὐκ ἐμνημόνευε τοῦ παρελθόντος χρόνου· ἀλλὰ καθ᾽
ἡμέραν, ὡς ἀρχὴν ἔχων τῆς ἀσκήσεως, μείζω τὸν πόνον εἶχεν εἰς
προκοπήν, ἐπιλέγων ἑαυτῷ τὸ τοῦ ἀποστόλου ῥητὸν συνεχῶς, Τῶν
ὄπισθεν ἐπιλανθανόμενοι, τοῖς δὲ ἔμπροσθεν ἐκτεινόμενοι, μνη-
μονεύων τε καὶ τῆς φωνῆς τοῦ προφήτου Ἠλίου λέγοντος, Ζῇ κύ-
ριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον. παρετηρεῖτο γάρ, ὅτι σή-
μερον λέγων, οὐκ ἐμέτρει τὸν παρελθόντα χρόνον. ἀλλ᾽ ὡς ἀρχὴν
κατα-

voluptate cor non circumuenerit: omnino [tamen] alia conaturum arte insidias struere. Peccatis enim dæmon delectatur. Magis igitur magisq; castigabat corpus, & in seruitutem redigebat: ne forte in alijs victor, in alijs succumberet. 1. Cor. 9. 27 *Quapropter vita duriori assuescere constituit: quod multis admirationi, ipsi toleratu per quàm fuit facile. Nam alacre animi studium, temporis diuturnitate, habitum ipsi optimum conciliauit; ut minima aliunde occasione arrepta, multum in eo serij laboris ostenderet. Tantum enim vigilabat, ut totam sæpe noctē insomnē duceret; idq; nō semel, sed sæpius obseruatū alij mirarētur. Cibum semel in die, post Solis occasum, capiebat: nonnunquam biduo, sæpe etiā quatriduo edebat; & ejus erat cibus panis cum sale; potus, aqua sola. Carnium nanq; ac vini meminisse, superuacaneum est; quum ne apud alios quidem ascetas illa inuenirentur. Dormiturus, contentus erat storeâ, ut plurimum terrâ nudâ. Oleo inungi nolebat: juniores enim, ajebat, magis ornare vitā asceticam alacri mente viuere, quàm de ijs laborare, quæ corpus effæminatū reddant. quin laboribus id assuefaciendum, considerato Apostoli dicto; Cum infirmor, tunc potens sum. tū* 2. Cor. 12, 10. *enim animi vigorem roborari, cum voluptates corporis debilitarentur. Hæc porrò etiā illius erat admirāda cogitatio. Non enim virtutis viā spatio temporis metiebatur; neq; ejus causa secessionem [in desertum:] sed desiderio & voluntate. Temporis itaq; præteriti immemor, quotidie, quasi vitæ asceticæ primordium caperet, plus laboris sumpsit ad progrediendum; illud apostoli subinde sibi insusurrans, Quæ retrò sunt, obliuiscētes;* Philipp. 3, 14. *ad ea verò, quæ priora sunt, sese extendentes. Memor etiā vocis propheticæ Eliæ, qui inquit; Viuit Dominus [exercituū,] an-* 3. Reg. 18, 15. *te cujus vultum sto, quia hodiè apparebo ei: obseruatâ hodie dictione, præteritum tempus non est dimensus; sed, tanquam*

facto

facto initio, indies talem se gereret operam dedit, qualem Deo se exhibere par esset; purum corde; ad obœdiendum illius voluntati, neq; ulli alteri, paratum. Dicebat quoq; apud se se, in magni illius Eliæ instituto ac ratione vitæ, tanquam in speculo, debere Asceten suam ipsius vitam nunquam non cernere. Hoc itaq; pacto se ipsum Antonius veluti coarctans, ad sepulchra lõgiùs à vico distantia secedebat, & familiarium cuidam, panem sibi multorum dierum interuallo ut afferret, mandabat; ingressusq; unum ex illis monumentum, clausâ ejus aduersum se se januâ, solus in eo remanebat. Quod cum non ferre posset hostis, sed metueret, ne breui eremus asceticâ impleretur: quadã nocte, cum dæmonum multitudine accessit, eiq; tot inflixit plagas, ut præ nimio dolore mutus humi jaceret. Tantum enim fuisse illum affirmabat, ut tormentum atq; cruciatum quemvis superaret. Dei autem prouidentiâ, (neq; enim à Domino, qui in ipsum sperant, negliguntur) die insequente, familiaris ejus adest, panibus ipsi allatis. apertaq; janua, ut humi jacentem vidit, tanquã mortuum; humeris in vici templum portauit, & in terra collocauit. Multi tum & generis propinquitate conjuncti, & è vico, aduenire, atq; Antonio veluti vitâ functo assidere. Concubia verò nocte, postquam ad se se rediјt, expergefactus; ut omnes videt dormire, solum vigilare familiarem: nutu ad se vocat, postulatq;, ut, nemine excitato, ad sepulchra se reportet. Quo facto; foribus clausis, more pristino, solus iterum intus remanet: quodq; ob dæmonum plagas stare non posset, procumbens orat. Finitis precibus; editâ voce, Hic sum, inquit, ego Antonius, plagas vestras nullus fugio. ac licet plura sitis intentaturi, nihil me à charitate Christi separabit. Accinuit quoq; illud Psalmi, Si consistant aduersum me castra, non ti-

Rom. 8.35.
Psal. 27.3.

καὶ βαλλόμενος, καθ' ἡμέραν ἐσπούδαζεν ἑαυτὸν παριστάνειν τοιοῦτον, οἷον χρὴ φαίνεσθαι τῷ θεῷ· καθαρὸν τῇ καρδίᾳ, καὶ ἕτοιμον ὑπακούειν τῷ βουλήματι αὐτοῦ, καὶ μηδενὶ ἄλλῳ. ἔλεγε δὲ ἐν ἑαυτῷ, δεῖν τὸν ἀσκητὴν ἐκ τῆς πολιτείας τοῦ μεγάλου Ἠλιοῦ καταμανθάνειν ὡς ἐν ἐσόπτρῳ τὸν ἑαυτοῦ βίον ἀεί. οὕτω δὴ οὖν συσφίγξας ἑαυτὸν Ἀντώνιος, ἀπήρχετο εἰς τὰ μακρὰ τῆς κώμης τυγχάνοντα μνήματα· καὶ παραγγείλας ἑνὶ τῶν γνωρίμων δι' ἡμερῶν πολλῶν αὐτῷ κομίζειν τὸν ἄρτον, αὐτὸς εἰσελθὼν εἰς ἓν τῶν μνημάτων, καὶ κλείσας ἐκείνου κατ' αὐτοῦ τὴν θύραν, ἔμενε μόνος ἔνδον. ἔνθα δὴ μὴ φέρων ὁ ἐχθρός, ἀλλὰ μὴν καὶ φοβούμενος, μὴ κατ' ὀλίγον καὶ τὴν ἔρημον ἐμπλήσῃ τῆς ἀσκήσεως· προσελθὼν ἐν μιᾷ νυκτὶ μετὰ πλήθους δαιμόνων, τοσοῦτον αὐτὸν ἔκοψε ταῖς πληγαῖς, ὡς καὶ ἄφωνον αὐτὸν ἀπὸ τῶν βασάνων κεῖσθαι χαμαί. διεβεβαιοῦτο γὰρ οὕτω σφοδροὺς γεγενῆσθαι τοὺς πόνους, ὡς λέγειν μὴ δύνασθαι τὰς παρὰ ἀνθρώπων πληγὰς τοιαύτην ποτὲ βάσανον ἐμποιῆσαι. θεοῦ δὲ προνοίᾳ (οὐ γὰρ παρορᾷ κύριος τοὺς ἐλπίζοντας ἐπ' αὐτόν) τῇ ἑξῆς παραγίνεται ὁ γνώριμος, κομίζων τοὺς ἄρτους αὐτῷ. ἀνοίξας τε τὴν θύραν, καὶ τοῦτον ἰδὼν χαμαὶ κείμενον ὡς νεκρόν· βαστάσας ἔφερεν εἰς τὸ τῆς κώμης κυριακόν, καὶ τίθησιν ἐπὶ τῆς γῆς· πολλοί τε τῶν συγγενῶν, καὶ οἱ ἀπὸ τῆς κώμης, παρεκαθέζοντο ὡς ἐπὶ νεκρῷ τῷ Ἀντωνίῳ. περὶ δὲ τὸ μεσονύκτιον εἰς ἑαυτὸν ἐλθὼν ὁ Ἀντώνιος, καὶ διεγερθείς, ὡς εἶδε πάντας κοιμωμένους, καὶ μόνον τὸν γνώριμον γρηγοροῦντα, νεύσας ἧκεν αὐτὸν πρὸς αὐτόν, ἠξίου πάλιν βαστάσαι καὶ ἀποφέρειν εἰς τὰ μνήματα, μηδένα ἐξυπνίσαντα. ἀπηνέχθη οὖν παρὰ τοῦ ἀνδρός· καὶ συνήθως τῆς θύρας κεκλεισμένης, ἔνδον ἦν πάλιν μόνος. καὶ στῆναι μὲν οὐκ ἴσχυε διὰ τὰς ἐκ τῶν δαιμόνων πληγάς· κείμενος δὲ ηὔχετο. καὶ μετὰ τὴν εὐχὴν ἔλεγε μετὰ κραυγῆς, Ὧδέ εἰμι ἐγὼ Ἀντώνιος, οὐ φεύγω τὰς παρ' ὑμῶν πληγάς. καὶ γὰρ καὶ πλείονα ποιήσητε, οὐδέν με χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ χριστοῦ. εἶτα καὶ ἔψαλλεν, ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φο-

βηθήσεται ἡ καρδία μου. ὁ μὲν οὖν ἀσκητὴς ἐφρόνει καὶ ἔλεγε ταῦτα. ὁ δὲ μισόκαλος καὶ φθονερὸς ἐχθρὸς, θαυμάσας ὅτι καὶ μετὰ τὰς πληγὰς ἐθάρρησεν ἐλθεῖν, συγκαλέσας αὐτοῦ τοὺς κύνας, καὶ διαρρηγνύμενος, Ὁρᾶτε, ἔφη, ὅτι οὔ τῷ δαίμονι πορνείας, οὐ ταῖς πληγαῖς ἐπαύσαμεν τοῦτον· ἀλλὰ καὶ θρασύνεται καθ' ἡμῶν· ἐπέλθωμεν ἄλλως αὐτῷ. εὔκολον δὲ τῷ διαβόλῳ εἰς κακίαν σχηματίζεσθαι † τότε δὴ οὖν ἐν τῇ νυκτὶ κτύπον μὲν τοιοῦτον ποιοῦσιν, ὡς δοκεῖν πάντα τὸν τόπον ἐκεῖνον σείεσθαι· τοὺς δὲ τοῦ οἰκίσκου τέσσαρας τοίχους ὥσπερ ῥήξαντες οἱ δαίμονες, ἔδοξαν δι' * αὐτὸν εἰσέρχεσθαι, μετασχηματισθέντες εἰς θηρίων καὶ ἑρπετῶν φαντασίαν. καὶ ἦν ὁ τόπος εὐθὺς πεπληρωμένος φαντασίας λεόντων, ἄρκτων, λεοπαρδάλων, ταύρων, καὶ ὄφεων, ἀσπίδων, καὶ σκορπίων, καὶ λύκων. καὶ ἕκαστον μὲν τούτων ἐκινεῖτο κατὰ τὸ ἴδιον σχῆμα· ὁ λέων ἔβρυχε, θέλων ἐπελθεῖν· ὁ ταῦρος ἐδόκει κερατίζειν, ὁ ὄφις ἕρπων οὐκ ἔφθανε, καὶ ὁ λύκος ὁρμῶν ἐπείχετο· καὶ ὅλως πάντων ἦσαν ὁμοῦ τῶν φαινομένων οἱ ψόφοι δεινοὶ, καὶ οἱ θυμοὶ χαλεποί. ὁ δὲ Ἀντώνιος μαστιζόμενος καὶ κεντούμενος παρ' αὐτῶν, ᾔσθετο μὲν δεινοτέρου πόνου σωματικοῦ· ἀτρέμας δὲ μᾶλλον τῇ ψυχῇ γρηγορῶν ἀνέκειτο. καὶ ἔστενε μὲν διὰ τὸν τοῦ σώματος πόνον· νήφων δὲ τῇ διανοίᾳ καὶ ὥσπερ χλευάζων, ἔλεγεν· εἰ δύναμίς τις ἦν ἐν ὑμῖν, ἤρκει καὶ μόνον ἕνα ἐξ ὑμῶν ἐλθεῖν· ἐπειδὴ δὲ ἐξενεύρωσεν ὑμᾶς ὁ κύριος, διὰ τοῦτο καὶ τῷ πλήθει πειράζετέ πως ἐκφοβεῖν· γνώρισμα δὲ ἀσθενείας ὑμῶν, τὸ τὰς ἀλόγων μιμεῖσθαι μορφάς. θαρρῶν γοῦν πάλιν ἔλεγεν· εἰ δύνασθε καὶ ἐξουσίαν ἐλάβετε κατ' ἐμοῦ, μὴ μέλλετε, ἀλλ' ἐπίβητε· εἰ δὲ μὴ δύνασθε, τί μάτην ταράσσεσθε; σφραγὶς ἡμῖν καὶ τεῖχος εἰς ἀσφάλειαν, ἡ εἰς τὸν κύριον ἡμῶν πίστις. πολλὰ τοίνυν ἐπιχειρήσαντες, * ἔτριζον κατ' αὐτὸν τοὺς ὀδόντας, ὅτι μᾶλλον ἔπαιζον ἑαυτοὺς, καὶ οὐκ ἐκεῖνον. ὁ δὲ κύριος οὐδὲ ἐν τούτῳ ἐπελάθετο τῆς ἀθλήσεως Ἀντωνίου, ἀλλ' εἰς ἀντίληψιν αὐτοῦ παρεγένετο. ἀναβλέψας γοῦν, εἶδε τὴν στέγην ὥσπερ διανοιγομένην,

† λείπει ἴσ. ἐθυμεῖν.

* αὐτῶν

* ἔτριζον κατ' αὐτοῦ

timebit cor meum. Hic Asceta animus, hæc verba fuerunt. At liuidus iste honesti osor, tot acceptis plagis Antonium redire ausum miratus; suis accersitus canibus, indignatione dirumpitur & inquit: Videtis, hunc non spiritu fornicationis, non plagis compesci à nobis potuisse; immò audentiùs aduersum nos ire. alio ipsum modo adoriamur. Neq; enim diabolo, alias atq; alias maliciæ formas excogitare, difficile. Noctu itaq; strepitus tunc excitatus ab ijs fuit tantus, ut totus ille locus quassari, & parietibus cellulæ quatuor ruptis dæmones per istos intrare, in bestias ac serpentes mutati, viderentur. eratq; idem locus subitò refertus spectris leonum, ursarum, leopardorum, taurorum, serpentium, aspidum, scorpionum, luporum. Horum unumquodq; formâ sibi propriâ mouebatur. Leo rugiebat in-* *frendebat *uasurus, taurus cornu petere videbatur, serpens reptabat, lupus cum impetu irruebat, omnium deniq; simul apparentium sibilus formidabilis, ira vehemens. Antonius dolorem corporis grauiorem ex flagris & stimulis eorum sustinuit quidem; sed immotus, magis animo vigilauit, & propter acerbum corporis sensum ingemuit: mente autem excitatus, veluti cum sannis, dixit; Si quid vobis virium esset, vel unum vestrû accedere satis foret: verùm à Domino eneruati, multitudine me terrere quodammodò attentatis. estq; euidens imbecillitatis vestræ indicium, brutorum animantium formas imitari. Confisusq; iterum inquit; Si qua facultas, si quid in me potestatis est vobis; ne cunctemini, sed aggredimini: sin minus, cur frustra turbatis? Sigillum enim nobis, & murus securitatis, est fides in Dominum nostrum. Multa ergò [dæmones] periclitati, dentibus aduersus ipsum strident, delusi magis, quàm quòd ipsû ludos fecissent. At Dominus, neq; hic certaminis Antonij oblitus, ad opẽ illi ferendã adfuit. Sublatis nãq; oculis, tectum velut*

*apertum videt, ac luminis radium ad se descendere. Dæmones illicò euanescere, & corporis dolor protinus remittere, ædicula salua & integra esse. Subsidio Antonius animaduerso, postquã magis respirauit, leuatus dolore; visum, quod apparuit, rogat, aitq́; : Vbi eras? cur non initio apparuisti, meosq́; dolores mitigasti? Ibi vox ad eũ; Aderã hic, Antoni, sed morabar, tuũ spectaturus certamẽ. Quo cũ sis defunctus, neq; succubueris : semper tibi ero adjutor, tuũq; nomen ubiuis locorum celebrius efficiam. Quo audito, surrexit atq; orauit; tantumq́; fuit corroboratus, ut plus virium corporis sibi esse, quàm amisisset, abundè sentiret. Annum ætatis quintum & trigesimum tunc agebat. Die egressus sequente, ad pietatem alacrior, cùm ad senem illũ pristinum rediјsset : simul in deserto ut essent, rogitauit. Ille autem, & propter ætatem recusante, & propter rei nouitatem : è vestigio in montem se proripuit. Ibi rursum inimicus, spectato ipsius ardente studio, impedire id conatus, argenteum discum, molis magnæ, in via illi obјcere. Antonius, fraude intellecta obscœnissimi, subsistere; & disco, cernens in eo diabolũ, rejecto atq; contempto dicere, Vnde in eremo discus, quum nulla hic sit semita, neq; ulla ambulantium vestigia? Si cui excidit; latêre ita magnus haud potuit : quin etiam, si quis amisisset, reuersus quæsitum nullo negocio reperisset, ob loci solitudinem. Techna hæc est diabolica. Per hoc, diabole, animi alacritatẽ mei non remoraberis : hoc tecum dispereat. Quo dicto; discus ille, tanquã fumus ab ignis facie, in nihilum fuit redactus. Inde abiens, non phantasiam, sed verum aurum in viјs projectũ conspicit. Quod utrum idem hostis exhibuerit, an virtus quædam * diuinior; quæ athletam exerceret, diaboloq́; ostenderet, ne veram quidẽ pecuniam curæ ipsi esse : neq; narrauit, neq; nobis constat; nisi*

* angelica

quòd

μένην, καὶ ἀκτῖνά τινα φωτὸς κατερχομένην πρὸς αὐτόν. καὶ οἱ μὲν
δαίμονες ἐξαίφνης ἄφαντοι γεγόνασιν. ὁ δὲ πόνος τοῦ σώματος εὐ-
θὺς ἐπέπαυτο. καὶ ὁ οἶκος πάλιν ἦν ὁλόκληρος. ὁ δὲ Ἀντώνιος αἰ-
σθόμενος τῆς ἀντιλήψεως, καὶ πλέον ἀναπνεύσας, κουφισθείς τε τῶν
πόνων, ἐδέετο τῆς φανείσης ὀπτασίας λέγων· ποῦ ἦς; διὰ τί μὴ ἐξ
ἀρχῆς ἐφάνης, ἵνα μου τὰς ὀδύνας παύσῃς; καὶ φωνὴ γέγονε πρὸς
αὐτόν· Ἀντώνιε, ὧδε ἤμην, ἀλλὰ περιέμενον ἰδεῖν τὸ σὸν ἀγώνισμα.
ἐπεὶ οὖν ὑπέμεινας, καὶ οὐχ ἡττήθης· ἔσομαί σοι ἀεὶ βοηθὸς, καὶ ποιήσω σε
ὀνομαστὸν πανταχοῦ γενέσθαι. ταῦτα ἀκούσας, ἀναστὰς ηὔχετο· καὶ το-
σοῦτον ἴσχυσεν, ὡς αἰσθέσθαι αὐτὸν, ὅτι πλείονα δύναμιν ἔχει ἐν τῷ
σώματι μᾶλλον, ἧς εἶχεν. ἦν δὲ τότε λοιπὸν, ἐγγὺς τριάκοντα καὶ πέντε
ἐτῶν. τῇ δὲ ἑξῆς προελθὼν, ἔτι μᾶλλον προθυμότερος ἦν εἰς τὴν θεο-
σέβειαν· καὶ γενόμενος πρὸς τὸν γέροντα τὸν παλαιὸν ἐκεῖνον, ἠξίου
τὴν ἔρημον οἰκῆσαι σὺν αὐτῷ. τοῦ δὲ παραιτουμένου διά τε τὴν ἡλι-
κίαν· καὶ διὰ τὸ μηδέπω εἶναι τοιαύτην συνήθειαν· εὐθὺς αὐτὸς ὥρ-
μησεν εἰς τὸ ὄρος· ἀλλὰ καὶ πάλιν ὁ ἐχθρὸς βλέπων αὐτοῦ τὴν σπου-
δὴν, καὶ θέλων ἐμποδίσαι ταύτην, ὑποβάλλει ἐν ταῖς ὁδοῖς ἀργυροῦ
δίσκου μεγάλου φαντασίαν. Ἀντώνιος δὲ συνεὶς τοῦ μισοκάλου τὴν
τέχνην, ἔστη. καὶ τῷ δίσκῳ, βλέπων τὸν ἐν αὐτῷ διάβολον, ἤλεγχε
λέγων· πόθεν ἐν ἐρήμῳ δίσκος; οὐκ ἔστιν ἡ ὁδὸς αὕτη τετριμμένη,
οὐδέ ἐστιν ἴχνος ὁδευόντων ὧδέ τινων. ἐκπεσὼν, οὐκ ἠδύνατο λαθεῖν
μέγιστος ὤν. ἀλλὰ καὶ ὁ ἀπολέσας, ἀναστρέψας καὶ ζητήσας εὗρεν ἄν,
διὰ τὸ ἔρημον εἶναι τὸν τόπον. τοῦτο τέχνη τοῦ διαβόλου γέγονεν. οὐκ
ἐμποδίσεις ἐν τούτῳ μου τὴν προθυμίαν διάβολε· τοῦτο γάρ σοι σὺν σοὶ
εἰς ἀπώλειαν. καὶ τοῦτο τοῦ Ἀντωνίου λέγοντος, ἐξέλειπεν ἐκεῖνος,
ὥσπερ καπνὸς ἀπὸ προσώπου πυρός. εἶτα πάλιν οὐκ ἔτι φαντασίαν,
ἀληθινὸν δὲ χρυσὸν ἐρριμμένον ἐν ταῖς ὁδοῖς ἑώρακεν ἀπερχόμενος·
εἴτε δὲ τοῦ ἐχθροῦ δείξαντος, εἴτε τινὸς κρείττονος δυνάμεως, γυμνα-
ζούσης τὸν ἀθλητὴν, καὶ δεικνυούσης τῷ διαβόλῳ, ὅτι μηδὲ τῶν ἀληθῶς φρον-
τίζει χρημάτων· οὔτε αὐτὸς ἀπήγγειλεν, οὔτε ἡμεῖς ἔγνωμεν. πλὴν

ὅτι χρυσὸς ἦν ὁ φαινόμενος. ὁ δὲ Ἀντώνιος τὸ μὲν πλῆθος ἐθαύμασεν, ὡς δὲ πῦρ ὑπερβὰς, οὕτως αὐτὸν παρῆλθεν, ὡς μηδὲ στραφῆναι· ἀλλὰ καὶ δρόμῳ σπουδάσαι τοσοῦτον, ὥστε κρύψαι καὶ λαθεῖν τὸν τόπον. μᾶλλον μὲν οὖν καὶ μᾶλλον ἐπιτείνας τὴν πρόθεσιν, ὥρμησεν εἰς τὸ ὄρος. καὶ παρεμβολὴν ἔρημον, καὶ διὰ τὸν χρόνον μεστὴν ἑρπετῶν εὑρών, εἰς τὸ πέραν τοῦ ποταμοῦ ἐκεῖ μετέθηκεν ἑαυτον. καὶ ᾤκησεν ἐν αὐτῇ. τὰ μὲν οὖν ἑρπετῶν εὑρών, εἰς τὸ πέραν τοῦ ποταμοῦ ἐκεῖ μετέθηκεν ἑαυτὸν, καὶ ᾤκησεν ἐν αὐτῇ. τὰ μὲν οὖν ἑρπετὰ, ὥσπερ τινὸς διώκοντος, εὐθὺς ἀνεχώρησαν. αὐτὸς δὲ τὴν εἴσοδον ἀναφράξας, καὶ ἄρτους εἰς μῆνας ἓξ ἀποθέμενος (ποιοῦσι δὲ τοῦτο Θηβαῖοι· καὶ πολλάκις μένουσι καὶ ὅλον ἐνιαυτὸν ἀβλαβεῖς) ἔχων ἔνδον ὕδωρ, ὥσπερ ἐν ἀδύτοις ἐγκαταδυόμενος ἐν τῷ μοναστηρίῳ μόνος ἔμενεν ἔνδον· μήτε αὐτὸς προϊὼν, μήτε τινὰ τῶν ἐρχομένων βλέπων. αὐτὸς μὲν οὖν πολὺν χρόνον οὕτω συνῆψεν ἀσκούμενος· κατ᾽ ἐνιαυτὸν μόνον, ἄνωθεν ἀπὸ τοῦ δώματος δεύτερον δεχόμενος τοὺς ἄρτους. οἱ δὲ πρὸς αὐτὸν ἐρχόμενοι τῶν γνωρίμων, ἐπεὶ μὴ συνεχώρει τούτους εἰσελθεῖν, ἔξω πολλάκις ἡμέρας καὶ νύκτας ποιοῦντες, ἤκουον ὡς ὄχλων ἔνδον θορυβούντων, κτυπούντων, φωνὰς ἀφιέντων οἰκτρὰς καὶ κραζόντων, ἀπόστα τῶν ἡμετέρων. τί σοι * κἀν τῇ ἐρήμῳ; οὐ φέρεις ἡμῶν τὴν ἐπιβουλὴν. τὸ μὲν οὖν ἀρχὴν, εἶναί τινας σὺν αὐτῷ μαχομένους ἀνθρώπους, καὶ τούτους διὰ κλιμάκων εἰσεληλυθέναι πρὸς αὐτὸν, ἐνόμιζον οἱ ἔξωθεν: ὡς δὲ διά τινος τρυμαλιᾶς παρακύψαντες οὐδένα ἔβλεπον, τότε δὴ λογισάμενοι δαίμονας εἶναι τούτους, καὶ φοβηθέντες αὐτοὶ τὸν Ἀντώνιον ἐκάλουν. ὁ δὲ μᾶλλον τούτων ἤκουσεν, ἢ ἐκείνων ἐφρόντιζε. καὶ γὰρ συνεχῶς παρέβαλλον οἱ γνώριμοι, νομίζοντες εὑρίσκειν αὐτὸν νεκρὸν· καὶ ἤκουον αὐτοῦ ψάλλοντος· ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ· καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ, οἱ μισοῦντες αὐτόν. ὡς ἐκλείπει καπνὸς, ἐκλιπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. καὶ πάλιν· πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς.

* καὶ τῇ

quod verè aurum fuerit. Cujus copiam admiratus Antonius, tanquā ignem transiliјt; itaq; inde discessit, ut nunquā rediret; quin cursu potius concitato loci ejusdem conspectum evitaret. Magis igitur magisq; tenax propositi, ad montem contendit. Vbi cum castellum invenisset desertum, & ob temporis longinquitatem serpentibus refertum, trans flumen; in illud se se contulit, ibiq; habitavit. Serpentes igitur, tanquā aliquo illos persequēte, subitò recesserunt. Ille, introitu prorsus obstructo, sumptisq; ad semestre secum panibus (qui mos est Thebanorum; durantq; illi per integrum sæpe annum incorrupti) nec aqua destitutus; tanquā adyta ingrederetur, in illo monasterio solus se se intus continuit; neq; ipse egressus unquam, nec advētantium quenquā conspicatus. Longius itaq; tempus ita vixit asceticè, nec nisi sexto quoq; mense panes è tecto (demissos) accepit. Familiares ipsius, quòd neminem ad se se venientem intromitteret, dies noctesq; foris sæpe numero commorati, audiebant veluti turbas intus tumultuantes, strepitum excitantes, voceq; edita miserabili clamantes, Secede à nostris: quid tibi cum eremo? non fers insidias nostras. Initio itaq; viros quosdā cum illo contendere, qui per scalas ad ipsum descenderint, existimarunt qui pro foribus steterē: postea verò quàm per rimulam introspexerunt, nec hominem quenquā viderunt; tum dæmonas esse rati, & territi, ipsi Antonium vocarunt. Verùm ille magis hos audire, quàm illos curare. Familiares siquidem ejus continenter accedebant; mortuum ipsum reperturos se opinati: at illū psallere audiebant; Exurgat Deus, & dissipentur ini- Psal. 68,1
mici ejus: & fugiant qui oderunt eum, à facie ejus. Sicut deficit 2
fumus deficiant: sicut fluit cera à facie ignis, sic pereant peccatores à facie Dei. et iterum, Omnes gentes circuierunt me, & Psal. 117,10.
in nomine Domini ultus sum in eos. Cum ergo annos propè vi-

ginti

ginti privatim sic excerceretur, neq; prodiens, neq; à quoquàm facilè visus: tandem (quòd multi cupidè asceticam ejus æmulo studio imitari desiderarent; alÿ etiam familiarium venirent, vi atq; impetu effracturi fores) Antonius exÿt tanquàm ex adyto, initiatus* mysterÿs, numine divino afflatus. Tunc igitur primò ipsum extra illud castellum videre advenæ, mirariq; corpus earundem virium, neq; obœsum, neq; ob jejunia gracile, aut etiam quasi dæmonum colluctatione non excercitatum. eadem enim erat ejus forma, quæ antequàm anachoreta fieret: eadē animi puritas ac morum elegantia. Neq; enim ille mœrore contrahi, neq; voluptatibus diffluere, neq; risu aut tristitiâ teneri; neq; turbâ visâ offendi, neq; salutantium multitudinē lætari: sed totus sibi similis, rationis qvippe imperio, naturaq; constātiâ. Multorum itaq; corpora ægrota Dominus per ipsum sanabat; alios à dæmonibus impuris liberabat; largitus Antonio sermonis gratiam; multos mœstos consolabatur; alios distractos in pristinam concordiàm reducebat, dicens, amori in Christum nihil in his terris præferendum esse. Idem in congressionibus hominum, futurorum bonorum memores ut essent, suasit, & Dei in nos benevolæ charitatis; qui proprio filio non pepercerit, sed pro nobis omnibus illum tradiderit. Multis solitariæ vitæ deligendæ autor fuit. unde illa in montibus monasteria, & monachorum in eremo sedes & domicilia, qui relictis bonis privatis in civitatem illam cœlestem adscribi voluerunt. Necessitate urgente ut Arsinoiticæ* præfecturæ fossam transiret (necessitatē intelligo visendi fratres) referta illa crocodilis fuit. Tantùm igitur precatus, cum comitibus salvus atq; incolumis transÿt. Reversus in monasterium, priores labores strenuus graves subÿt; & crebris collocutionibus aliorum vitæ monasticæ studium auxit; alios plurimos ad asceticæ amorem incitavit; ut repente

sermonis

* sacris

Rom. 8, 32

* Strabo lib. 17 pag. 556. & 558. v 56.

αὐτούς. εἴκοσι τοίνυν ἐγγὺς ἔτη διετέλεσεν, οὕτω καθ' ἑαυτὸν ἀσκούμενος· οὔτε προϊὼν, οὔτε παρά τινων συνεχῶς βλεπόμενος· μετὰ δὲ ταῦτα (πολλῶν ποθούντων καὶ θελόντων αὐτοῦ τὴν ἄσκησιν ζηλῶσαι· ἄλλων δὲ γνωρίμων ἐλθόντων, καὶ βίᾳ τὴν θύραν καταβαλλόντων καὶ ἐξωσάντων·) προῆλθεν ὁ Ἀντώνιος ὥσπερ ἔκ τινος ἀδύτου μεμυσταγωγημένος καὶ θεοφορούμενος· καὶ τότε πρῶτον ἀπὸ τῆς παρεμβολῆς ἐφάνη τοῖς ἐλθοῦσι πρὸς αὐτόν. ἐκεῖνοι μὲν οὖν ὡς εἶδον, ἐθαύμαζον ὁρῶντες αὐτοῦ τό, τε σῶμα τὴν αὐτὴν ἕξιν ἔχον, καὶ μήτε πιανθὲν, μήτ' ἰσχνωθὲν ὡς ἀπὸ νηστειῶν, ἢ ὡς ἀγύμναστον καὶ μάχης δαιμόνων. τοιοῦτος γὰρ ἦν, οἷον καὶ πρὸ τῆς ἀναχωρήσεως ᾔδεσαν αὐτόν. τῆς δὲ ψυχῆς πάλιν καθαρὸν τὸ ἦθος. οὔτε γὰρ ὡς ὑπὸ λύπης συνεσταλμένον ἦν, οὔτε ὑφ' ἡδονῆς διακεχυμένον, οὔτε ὑπὸ γέλωτος ἢ κατηφείας συνεχόμενον. οὔτε γὰρ ἰδὼν τὸν ὄχλον ἐταράχθη, οὔτε ὡς ὑπὸ τοσούτων κατασπαζόμενος ἐγεγήθει· ἀλλ' ὅλος ἦν ἴσος, ὡς ὑπὸ τοῦ λόγου κυβερνώμενος, καὶ ἐν τῷ κατὰ φύσιν ἑστώς. πολλοὺς γοῦν τῶν παρόντων τὰ σώματα πάσχοντας ἐθεράπευσεν ὁ κύριος δι' αὐτοῦ· καὶ ἄλλους ἀπὸ δαιμόνων ἐκαθάρισε. χάριν τε ἐν τῷ λαλεῖν ἐδίδου τῷ Ἀντωνίῳ· καὶ οὕτω πολλοὺς μὲν λυπουμένους παρεμυθεῖτο, ἄλλους δὲ μαχομένους διήλλαττεν εἰς φιλίαν· πᾶσιν ἐπιλέγων, μηδὲν τῶν ἐν τῷ κόσμῳ προκρίνειν τῆς εἰς Χριστὸν ἀγάπης. διαλεγόμενος δὲ καὶ παραινῶν μνημονεύειν περὶ τῶν μελλόντων ἀγαθῶν, καὶ τῆς εἰς ἡμᾶς γενομένης τοῦ θεοῦ φιλανθρωπίας· ὃς οὐκ ἐφείσατο τοῦ ἰδίου υἱοῦ, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν. ἔπεισε πολλοὺς αἱρήσασθαι τὸν μονήρη βίον· καὶ οὕτω λοιπὸν γέγονε καὶ ἐν τοῖς ὄρεσι μοναστήρια, καὶ ἡ ἔρημος ἐπολίσθη ὑπὸ μοναχῶν, ἐξελθόντων ἀπὸ τῶν ἰδίων, καὶ ἀπογραψαμένων τὴν ἐν τοῖς οὐρανοῖς πολιτείαν. χρείας δὲ γενομένης διελθεῖν αὐτὸν τὴν τοῦ Ἀρσενοΐτου διώρυχα (χρεία δὲ ἦν ἡ τῶν ἀδελφῶν ἐπίσκεψις) πλήρης ἦν ἡ διῶρυξ κροκοδείλων. καὶ μόνον εὐξάμενος, ἐνέβη καὶ αὐτὸς δὲ, καὶ πάντες οἱ σὺν αὐτῷ, διῆλθον ἀβλαβεῖς. ὑποστρέψας δὲ εἰς τὸ μοναστήριον, τῶν αὐτῶν εἴχετο σεμνῶν καὶ νεανικῶν πόνων. διαλεγόμενός τε συνεχῶς· τῶν μὲν ἤδη μοναχῶν τὴν προθυμίαν ηὔξανε· τῶν δὲ

ἄλλων δὲ πλείστους εἰς ἔρωτα τῆς ἀσκήσεως ἐκίνει, καὶ ταχέως, ἑλκόντος τοῦ λόγου, πλεῖστα γέγονε μοναστήρια· καὶ πάντων αὐτῶν ὡς πατὴρ καθηγεῖτο. μιᾷ γοῦν ἡμέρᾳ προελθών, καὶ πάντων τῶν μοναχῶν ἐλθόντων πρὸς αὐτὸν, ἀξιούντων τι παρ' αὐτοῦ ἀκοῦσαι λόγον· ἔλεγεν αὐτοῖς τῇ αἰγυπτιακῇ φωνῇ ταῦτα. τὰς μὲν γραφὰς ἱκανὰς εἶναι πρὸς διδασκαλίαν· ἡμᾶς δὲ καλὸν παρακαλεῖν ἀλλήλους ἐν τῇ πίστει, καὶ ἀλείφειν ἐν τοῖς λόγοις. καὶ ὑμεῖς τοίνυν ὡς τέκνα φέρετε τῷ πατρὶ λέγοντες ἃ οἴδατε: κἀγὼ δὲ ὡς τῇ ἡλικίᾳ πρεσβύτερος ὑμῶν, ἃ οἶδα καὶ ὧν πεπείραμαι μεταδίδωμι. ἔστω δὲ προηγουμένως κοινὴ πᾶσιν αὕτη σπουδή, ἀρξαμένους μὴ ἐνδοῦναι: μηδὲ ἐκκακεῖν ἐν τοῖς πόνοις· μηδὲ λέγειν ἐχρονίσαμεν ἐν τῇ ἀσκήσει· ἀλλὰ μᾶλλον ὡς ἀρχόμενοι καθ' ἡμέραν, τὴν προθυμίαν ἐπαυξήσωμεν. ὅλως γὰρ ὁ τῶν ἀνθρώπων βίος βραχύτατός ἐστι, μετρούμενος πρὸς τοὺς μέλλοντας αἰῶνας· ὥστε καὶ πάντα τὸν χρόνον ἡμῶν μηδὲν εἶναι πρὸς τὴν αἰώνιον ζωήν. καὶ πᾶν μὲν πρᾶγμα ἐν τῷ κόσμῳ τοῦ ἀξίου πιπράσκεται, καὶ ἴσον ἴσῳ τις ἀντικαταλάσσει· ἡ δὲ ἐπαγγελία τῆς αἰωνίου ζωῆς, ὀλίγου τινὸς ἀγοράζεται. γέγραπται γάρ, αἱ ἡμέραι τῆς ζωῆς ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα, καὶ τὸ πλεῖον αὐτῶν, κόπος καὶ πόνος. ἐὰν οὖν τοίνυν πάντα τὰ ὀγδοήκοντα ἔτη διαμείνωμεν ἐν τῇ ἀσκήσει, οὐκ ἴσα τοῖς ἑκατὸν ἔτεσι βασιλεύσομεν: ἀλλ' ἀντὶ τῶν ἑκατὸν, αἰῶνας αἰώνων βασιλεύσομεν. καὶ ἐπὶ γῆς ἀγωνισάμενοι, οὐκ ἐν γῇ κληρονομοῦμεν, ἀλλ' ἐν οὐρανοῖς ἔχομεν ἐπαγγελίας. πάλιν φθαρτὸν ἀποθέμενοι τὸ σῶμα, ἄφθαρτον ἀπολαμβάνομεν αὐτό. ὥστε τέκνα μὴ ἐκκάμωμεν· μηδὲ νομίζωμεν χρονίζειν, ἢ μέγα τι ποιεῖν. οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς δόξαν. μηδὲ εἰς τὸν κόσμον βλέποντες νομίζωμεν μεγάλοις τισὶν ἀποτετάχθαι. καὶ γὰρ καὶ αὐτὴ πᾶσα ἡ γῆ βραχυτάτη πρὸς ὅλον τὸν οὐρανόν ἐστιν. εἰ τοίνυν καὶ πάσης τῆς γῆς κύριοι τυγχάνομεν, καὶ ἀπεταξάμεθα τῇ γῇ πάσῃ, οὐδὲν ἄξιον τὴν πάλιν πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν. ὡς γὰρ εἴ τις καταφρονήσει μιᾶς χαλκῆς

δραχμῆς

sermonis ipsius illicio, plurima fierent monasteria, quibus omnibus tanquam pater præfuit. Quodam igitur die progressus, cum omnes ad eum monachi accederent, rogatum ut aliquam ejus orationem audire liceret: hæc ipsis linguâ Aegypticâ dixit; Sacræ literæ satis quidem habent virium ad docendum; sed pulchrum, se se invicem ad fidem hortari, atq; doctrinâ excercere. Quare etiam vos tanquam filij narrate patri quæ nostis: & ego, natu quippe grandior, quæ nôrim, & sim expertus, referam. Inprimis autem sit unum idemq; omnibus studium; in instituto non remittere, neq; in laboribus pigrescere; nec dicere, Diu Ascetica vacavimus: quin tanquam cotidie capto primordio, desiderium illius augeatur. Omnino enim vita humana, cum futuris seculis comparata, est omnium brevissima; nec quicquã, ratione æternitatis. Et res mundana qualibet justo venditur, & par cum pari permutatur: promissio autem vitæ æternæ parvo emitur. Scriptum est enim, Dies annorum nostrorum in ipsis, septuaginta anni; si autem in potestatibus, octoginta, & amplius eorum, labor & dolor. Octoginta itaq; annos in Ascesi perstituri totos, non annos totidem regnabimus; sed in seculorum secula: & in terra decertaturi, non in eâdem erimus hæredes; sed cælestium bonorum facta nobis est promissio. Rursum, corpore depositto corruptibili, recipiemus id incorruptibile. Quo circa filij ne lassescamus, neq; existimemus nos morari, aut magni quid præstare. Nõ enim sunt condignæ passiones hujus temporis ad futuram gloriã, quæ revelabitur in nobis. Neq; in hunc intuentes mundum, magnis quibusdam rebus nuncium nos remisisse, ducamus. Nam universus terrarum orbis, cum toto collatus cælo, res omnium est minima. Omni ergo terrâ ut simus potiti, eidemq; valedixerimus; indignum, quod cum regno cælorum conferatur. Vt enim unam aliquis negligit drachmam

Psalm. 90, 10.

Rom. 8, 18.

D 2 *æream,*

aream, ut lucretur centum aureas: sic qui terræ omnis dominus,
ei renunciat; amittit parum, recipit centuplū. Quod si univer-
sus terrarum orbis est indignus cœlis: qui campos amittit exi-
guos, perinde est ac si nihil perdat. Tametsi domiciliū aut mul-
tum auri amittas, ne glorieris, neq; animo concidas. Nam per se
cogitādum, ut nihil jacturæ, propter virtutis studiū, faciamus:
mortuos tamen nos iis sæpe nostra, quibus nolimus, relinquere:
Eccles. 2, 18 memorante id Ecclesiaste. Quid igitur nō virtutis causa relin-
quamus, ut regni [cœlorum] hæredes fiamus? Quocirca nec cu-
piditate possidendi [aliquid] ardeamus. Quid enim lucri, ea
possidere quæ nobiscum non auferimus? Quin de illis potius ac-
quirendis laboremus, quæ retinere firmiter possumus, cujusmo-
di sunt Prudentia, Iusticia, Temperantia, Fortitudo, Intelli-
gentia, Charitas, amor pauperum, fides in Christum, iræ vacu-
itas, hospitalitas. His enim comparatis; non deerunt quæ nobis
in terra istic mitium & mansvetorū hospitium concilient. Qua-
re hinc etiam motus, ne quis contemptim de se statuat; præ-
sertim si reputet, se Domini servum esse, eiq; servitutis religio-
ne obstrictum. Quemadmodum igitur servus dicere non aude-
bit; Cum heri laborarim, otiabor hodie; neq; habita præteriti
Matth. 24. temporis ratione, diebus sequentibus cessabit; sed quotidie (ut
scriptum est in Evangelio) eandem animi promptitudinem os-
tendet; ut suo placeat Domino, nec quicquam periclitetur: sic
nos diebus singulis Asceticæ vacemus, non nescii, uno die negle-
cto, propter antè acta veniam nobis haud iri datum, sed propter
Ezech. 33. 12. negligentiam Dominum nobis iratiorem fore. Sic etiam Eze-
chiel testatur; sic & Iudas ob noctem unam præteriti temporis
laborem perdidit. Quapropter, filii, Asceticæ adhæreamus, neq;
acediæ locum demus: nobis enim adjutor est Deus, ut scriptum
est. Quicunq; enim bonū elegerit, ei Deus cooperatur in bonum.

Ac ne

*δραγμῆς, ἵνα κερδήσῃ χρυσᾶς *δραγμὰς ἑκατόν· οὕτως ὁ πάσης τῆς γῆς κύριος ὢν καὶ ἀποταξάμενος αὐτῇ, ὀλίγον ἀφίησι, καὶ ἑκατονταπλασίονα λαμβάνει. εἰ δ' οὐδὲ πᾶσα ἡ γῆ ἀξία τῶν οὐρανῶν ἐστι· ὁ ἄρα ἀφεὶς ὀλίγας ἀρούρας, ὡς οὐδὲν καταλιμπάνων· κἂν οἰκίαν ἢ χρύσιον ἱκανὸν ἀφῇ, οὐκ ὀφείλει καυχᾶσθαι ἢ ἀκηδιᾶν. ἄλλως τε ὀφείλομεν λογίζεσθαι, ὅτι κἂν μὴ ἀφῶμεν δι' ἀρετὴν, ἀλλ' ὕστερον ἀποθνήσκοντες καταλιμπάνομεν αὐτὰ πολλάκις καὶ οἷς οὐ θέλομεν, ὡς ἐμνημόνευσεν ὁ ἐκκλησιαστής. διὰ τί οὖν μὴ δι' ἀρετὴν ἡμεῖς καταλιμπάνομεν, ἵνα καὶ βασιλείαν κληρονομήσωμεν. διὰ τοῦτο, μηδὲ τοῦ κτᾶσθαί τις ἡμῶν ἐπιθυμίαν λαμβανέτω. τί γὰρ κέρδος ταῦτα κτᾶσθαι ἃ μηδὲ αἴρομεν μεθ' ἑαυτῶν; τί οὖν, μᾶλλον ἐκεῖνα κτώμεθα, ἃ καὶ μεθ' ἑαυτῶν ἆραι δυνάμεθα· ἅτινά ἐστιν, φρόνησις, δικαιοσύνη, σωφροσύνη, ἀνδρία, σύνεσις. ἀγάπη, φιλοπτωχία, πίστις ἡ εἰς χριστὸν, ἀοργησία, φιλοξενία. ταῦτα κτώμενοι, εὑρήσομεν αὐτὰ πρὸ ἑαυτῶν ἐκεῖ ποιοῦντα ἡμῖν ξενίαν ἐν τῇ γῇ τῶν πραέων. ὥστε καὶ ἐκ τούτων πειθέτω τις ἑαυτὸν, μὴ ὀλιγωρεῖν· καὶ μάλιστα, ἐὰν λογίσηται, δοῦλον ἑαυτὸν εἶναι τοῦ κυρίου, καὶ ὀφείλοντα τῷ δεσπότῃ δουλεύειν. ὥσπερ οὖν ὁ δοῦλος οὐκ ἂν τολμήσῃ *λέγων, ἐπειδὴ χθὲς εἰργασάμην, οὐκ ἐργάζομαι σήμερον· οὐδὲ τὸν παρελθόντα χρόνον μετρῶν, παύσεται τῶν ἑξῆς ἡμερῶν· ἀλλὰ καθ' ἡμέραν (ὡς ἐν τῷ εὐαγγελίῳ γέγραπται) τὴν αὐτὴν προθυμίαν δείκνυσιν, ἵνα τῷ κυρίῳ αὐτοῦ ἀρέσκῃ, καὶ μὴ κινδυνεύσῃ: οὕτω καὶ ἡμεῖς καθ' ἡμέραν ἐπιμένωμεν τῇ ἀσκήσει, εἰδότες ὅτι ἐὰν μίαν ἡμέραν ἀμελήσωμεν, οὐ διὰ τὸν παρελθόντα χρόνον ἡμῖν συγχωρήσει· ἀλλὰ διὰ τὴν ἀμέλειαν ἀγανακτήσει καθ' ἡμῶν. οὕτω καὶ ἐν τῷ ἰεζεκιὴλ ἠκούσαμεν· οὕτω καὶ ὁ ἰούδας διὰ νύκτα μίαν ἀπώλεσε καὶ τὸν τοῦ παρελθόντος χρόνου κάματον. ἐχώμεθα οὖν, τέκνα, τῆς ἀσκήσεως, καὶ μὴ ἀκηδιῶμεν. ἔχομεν γὰρ ἐν τούτῳ καὶ τὸν κύριον συνεργὸν, ὡς γέγραπται, παντὶ τῷ προαιρουμένῳ τὸ ἀγαθὸν, καὶ ὁ θεὸς συνεργεῖ εἰς ἀγαθόν.

*δραχμῆς Evagr.
*δραχμὰς
*λέγειν

εἰς δὲ τὸ μὴ ὀλιγωρεῖν ἡμᾶς, καλὸν τὸ τοῦ ἀποστόλου ῥητὸν μελετᾶν τὸ, καθ' ἡμέραν ἀποθνήσκω. ἂν γὰρ καὶ ἡμεῖς ὡς ἀποθνήσκοντες καθ' ἡμέραν, οὕτως ζῶμεν, οὐχ ἁμαρτήσομεν. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον, ἵνα ἐγειρόμενοι καθ' ἡμέραν, νομίζωμεν μὴ μένειν ἕως ἑσπέρας· καὶ πάλιν μέλλοντες κοιμᾶσθαι, νομίζωμεν μὴ ἐγείρεσθαι: ἀδήλου φύσει καὶ τῆς ζωῆς ἡμῶν οὔσης, καὶ μετρουμένης καθ' ἡμέραν παρὰ τῆς προνοίας. οὕτω δὲ διακείμενοι, καὶ καθ' ἡμέραν οὕτω ζῶντες, οὔτε ἁμαρτήσομεν, οὔτε τινὸς ἐπιθυμίαν ἕξομεν, οὔτε μηνιοῦμέν τινι, οὔτε θησαυρίσομεν ἐπὶ τῆς γῆς: ἀλλ' ὡς καθ' ἡμέραν προσδοκῶντες ἀποθνήσκειν, ἀκτήμονες ἐσόμεθα· καὶ πᾶσι πάντας συγχωρήσομεν ἐπιθυμίας δὲ γυναικὸς, ἢ ἄλλης ῥυπαρᾶς ἡδονῆς, οὐδ' ὅλως κρατήσομεν: ἀλλ' ὡς παρερχομένην ἀποστραφησόμεθα· ἀγωνιῶντες ἀεὶ καὶ προβλέποντες τὴν ἡμέραν τῆς κρίσεως. ἀεὶ γὰρ ὁ μείζων φόβος καὶ ὁ ἀγὼν τῶν βασάνων διαλύει τὸ πλεῖον τῆς ἡδονῆς, καὶ τὴν ψυχὴν κλίνουσαν ἀνίστησιν. οὐκοῦν ἀρξάμενοι καὶ ἐπιβάντες ἤδη τῇ ὁδῷ τῆς ἀρετῆς, ἐπεκτεινώμεθα μᾶλλον, ἵνα φθάσωμεν ἐπὶ τὰ ἔμπροσθεν. καὶ μηδεὶς εἰς τὰ ὀπίσω στρεφέσθω, ὡς ἡ γυνὴ τοῦ Λώτ· μάλιστα ὅτι κύριος εἴρηκεν, οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν * ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. τὸ δὲ στραφῆναι, οὐδὲν ἕτερόν ἐστιν, ἢ μεταμεληθῆναι, καὶ πάλιν κοσμικὰ φρονεῖν. μὴ φοβεῖσθε ἀκούοντες περὶ ἀρετῆς, μηδὲ ξενίζεσθε περὶ τοῦ ὀνόματος. οὐ γὰρ μακρὰν ἀφ' ἡμῶν ἐστιν, οὐδ' ἔξωθεν ἡμῶν συνίσταται. ἐν ἡμῖν δέ ἐστι τὸ ἔργον, καὶ εὔκολον ἐστὶ τὸ πρᾶγμα, ἐὰν μόνον θελήσωμεν. ἕλληνες μὲν οὖν ἀποδημοῦσι καὶ θάλατταν περῶσι, ἵνα γράμματα μάθωσιν. ἡμεῖς δὲ οὐ χρείαν ἔχομεν ἀποδημῆσαι διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, οὔτε περᾶσαι θάλατταν διὰ τὴν ἀρετήν. φθάσας γὰρ εἶπεν ὁ κύριος· ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστίν. οὐκοῦν ἡ ἀρετὴ, τοῦ θέλειν ἡμῶν μόνου χρείαν ἔχει: ἐπειδήπερ ἐν ἡμῖν ἐστὶ, καὶ ἐξ ἡμῶν συνίσταται. τῆς γὰρ ψυχῆς

* εἰς τὴν βασιλείαν τοῦ θεοῦ lib ed.

τὸ

Ac ne simus negligentiores; dictum illud Apostoli meditari, cõvenit: Quotidiè morior, Si enim & nos sic vixerimus, tanquã indies morituri: nõ peccabimus. Quod ita intelligendum: ut è lectulo surrecturi, quotidie existimemus non ad vesperam usq; nos victuros esse; & dormitum ituri, existimemus nos non esse surrecturos: qvum vita nostra naturâ sit incerta, quam indies [divina] prouidentia metitur. Ita affecti, itaq; nullo nõ die victuri: neq; peccabimus, neq; ullius rei desiderio tenebimur, neq; ulli succensebimus, neq; thesaurum in terris congeremus: sed propter quotidianam veluti mortis expectationem, non possidebimus quicquam, omnia omnibus ignoscemus. mulieris verò, aut alterius voluptatis sordidæ, cupiditate nunquam incendemur; sed ut caducam aversabimur, metu anxij, diemq; prævidendo judicij. Formido enim gravior, & periculum tormentorum, voluptatem nimiam disperdit, animũq; nutantem erigit. Facto itaq; jam initio itineris ad virtutem, contendamus magis, qvo ad priora perveniamus; nec qvisquam retrò, quemadmodum Loti uxor, respiciat. Cum præsertim Christus dixerit; Nemo mittens manum suam ad aratrum, & respiciens retrò, aptus est regno Dei. Respicere autem retrò, nihil est aliud, quam [cœpti] pœnitere, ac rursum mundana sapere. Ne timeatis, virtute audita; neq; nomine tanquam novo in admirationem & stuporem ducamini. Non enim procul à nobis abest, neq; extra nos consistit. Opus nanq; nobis [naturâ] insitum, factuq; facile est; modò velimus. Pagani quidem peregrinantur, & mare trajciunt, literarum discendarum gratia: nobis nullo opus est peregrinatione propter regnũ cælorum; neq; mare trãseundum, propter virtutem. Ita enim Dominus, Regnum Dei intra vos est. Quo circa virtus voluntatem duntaxat nostram requirit, qvum nobis insit, & ex nobis ortũ trahat. Ejus enim

1. Cor. 15. 31.

*fluxam

Philip. 3, 14.
Genes. 19, 26
Lucæ 9, 62.

Lucæ 17, 21.

animi partis, quæ naturâ intelligit, est virtus. Secundum naturam autem se se habet, quum, ut facta est, manet: at pul-
Iosua 24, 23. Matth. 3. *chra & per quàm recta est facta. Vnde Iesus Naue populo præcepit dixitq́: Dirigite corda vestra ad dominum Deum Israël.*
* ejus. lib. ed. *& Ioannes, Rectas facite semitas * vestras. Nam animum esse rectum, nihil aliud est; quàm mentem, principem illius partē, sic se se habere, quemadmodū sit condita. Quæ si declinet, atq; à natura deflectat; tunc vitium animi dicitur. Res itaq; non est difficilis, nam mansuris nobis in eo statu, quo conditi sumus, virtus aderit: sin prava cogitaverimus, ut mali judicabimur. Quòd si extrinsecus eadem illa res esset cōparanda: verè difficultate non careret: nunc cum nobis insita sit, caveamus ipsi nobis à sordidis cogitationibus; & animum, tanquam depositum acceptum, Domino servemus: ut suum ipse opus agnoscat, animum ita ut condidit constitutum. Illud ergo sit nostrū certamen, ne Ira tyrannidem occupet, néve cupiditati succum-*
Iacob. 1. 20. 15. *bamus. Scriptum est enim, Ira viri justiciam Dei non operatur. &. Cōcupiscētia cū conceperit, parit peccatū; peccatū verò cum cōsummatū fuerit, generat mortē. Hac vita ratione inita; secu-*
Proverb. 4, 23. *ri vigilabimus, & (ut scriptū est) omni custodiâ cor nostrū servabimus. Hostes enim sūt nobis acres & callidi, mali dæmones.*
Ephes. 6, 12 *Præterea non est nobis, ut Paulus dixit, colluctatio adversus carnem & sanguinē: sed adversus principes & potestates, adversus mundi rectores tenebrarum harum, contra spiritualia nequitiæ, in cælestibus. Illorum magna est turba in aëre nobis proximo; neq; procul à nobis àbsunt; estq́; multum inter ipsos discriminis. De quo ut & illorum natura, multa possent dici; quæ alij, majores quàm nos sumus, narrabunt. Quod verò jam nobis necessariò incumbit, tantùm nosse, quæ sint istorum adversum nos calliditates. Primùm igitur hoc scimus, dæmones appellari*

τὸ νοερὸν κατὰ φύσιν ἐχούσης, ἡ ἀρετὴ συνίσταται. κατὰ φύσιν δὲ ἔχει, ὅτ' ἂν, ὡς γέγονε, μένει. γέγονε δὲ, καλὴ καὶ εὐθὴς λίαν. διὰ τοῦτο ὁ μὲν τοῦ ναυὴ ἰησοῦς παραγγέλλων ἔλεγε τῷ λαῷ, εὐθύνατε τὴν καρδίαν ὑμῶν πρὸς κύριον τὸν θεὸν ἰσραήλ. ὁ δὲ ἰωάννης, εὐθείας ποιεῖτε τὰς τρίβους ὑμῶν. τὸ γὰρ εὐθεῖαν εἶναι τὴν ψυχὴν, τοῦτό ἐστι τὸ κατὰ φύσιν νοερὸν αὐτῆς ὡς ἐκτίσθη. πάλιν δὲ ὅτ' ἂν ἐκκλίνῃ· καὶ ἐν διαστροφῇ τοῦ κατὰ φύσιν γένηται, τότε κακία ψυχῆς λέγεται. οὐκοῦν οὐκ ἔστι δυσχερὲς τὸ πρᾶγμα. ἐὰν γὰρ μείνωμεν, ὡς γεγέναμεν, ἐν τῇ ἀρετῇ ἐσμέν: ἐὰν δὲ λογιζώμεθα τὰ φαῦλα, ὡς κακοὶ κρινόμεθα. εἰ μὲν οὖν ἔξωθεν ἦν πορίσιον τὸ πρᾶγμα, δυσχερὲς ὄντως ἦν· εἰ δὲ ἐν ἡμῖν ἐστὶ, φυλάξωμεν ἑαυτοὺς ἀπὸ ῥυπαρῶν λογισμῶν, καὶ ὡς παρακαταθήκην λαβόντες, τηρήσωμεν τῷ κυρίῳ τὴν ψυχήν· ἵν' αὐτὸς ἐπιγνῷ τὸ ποίημα αὐτοῦ, οὕτως οὖσαν αὐτὴν, ὥσπερ καὶ πεποίηκεν αὐτήν. ἔστω δὲ ἡμῖν ἀγὼν, ὥστε μὴ τυραννεῖν ἡμῶν θυμόν: μηδὲ κρατεῖν ἡμῶν ἐπιθυμίαν. γέγραπται γὰρ, ὅτι ὀργὴ ἀνδρὸς δικαιοσύνην θεοῦ οὐ κατεργάζεται: ἡ δὲ ἐπιθυμία συλλαβοῦσα, τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον. οὕτω δὲ πολιτευόμενοι νήφωμεν ἀσφαλῶς: καὶ ὡς γέγραπται, πάσῃ φυλακῇ * τηρῶμεν ἑαυτῶν τὴν καρδίαν. ἐχθροὺς γὰρ ἔχομεν δεινοὺς καὶ πανούργους, τοὺς πονηροὺς δαίμονας· καὶ πρὸς τούτους, ἐστὶν ἡμῖν ἡ πάλη (ὡς εἶπεν ὁ ἀπόστολος) οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, καὶ πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ἐν τοῖς ἐπουρανίοις. πολὺς μὲν οὖν αὐτῶν ἐστιν ὁ ὄχλος ἐν τῷ καθ' ἡμᾶς ἀέρι, καὶ μακρὰν οὐκ εἰσὶν ἀφ' ἡμῶν· πολλὴ δέ τις ἐστὶν ἐν αὐτοῖς ἡ διαφορά. καὶ περὶ μὲν τῆς φύσεως αὐτῶν καὶ τῆς διαφορᾶς, πολὺς ἂν εἴη λόγος· καὶ ἄλλων μειζόνων ἢ καθ' ἡμᾶς ἐστὶ τὸ τοιοῦτον διήγημα. τὸ δὲ νῦν κατεπεῖγον καὶ ἀναγκαῖον ἡμῖν, γνῶναι ἐστὶ μόνον τὰς καθ' ἡμῶν αὐτῶν πανουργίας. πρῶτον τοίνυν τοῦτο γινώσκωμεν, ὅτι οἱ δαίμονες

* τήρει τὴν καρδίαν

οὐ καθὸ δαίμονες καλοῦνται, οὕτω γεγόνασιν (οὐδὲν γὰρ κακὸν ἐποίησεν ὁ θεός:) ἀλλὰ καλοὶ μὲν γεγόνασι καὶ αὐτοί. ἐκπεσόντες δὲ ἀπὸ τῆς οὐρανίου φρονήσεως, καὶ λοιπὸν περὶ τὴν γῆν καλινδούμενοι: τοὺς μὲν ἕλληνας ἠπάτησαν ταῖς φαντασίαις, ἡμῖν δὲ τοῖς χριστιανοῖς φθονοῦντες, πάντα κινοῦσι, θέλοντες ἐμποδίζειν ἡμᾶς τῆς εἰς οὐρανοὺς ἀνόδου· ἵνα μὴ ὅθεν ἐξέπεσον αὐτοί, ἀνέλθωμεν ἡμεῖς. διὸ καὶ πολλῆς εὐχῆς, καὶ ἀσκήσεώς ἐστι χρεία· ἵνα τις λαβὼν διὰ τοῦ πνεύματος χάρισμα διακρίσεως πνευμάτων, γνῶναι δυνηθῇ τὰ κατ' αὐτούς. καὶ τίνες μὲν εἰσὶν ἔλαττον φαῦλοι; τίνες δὲ ἐκείνων φαυλότεροι: καὶ περὶ ποῖον ἐπιτήδευμα ἕκαστος αὐτῶν ἔχει τὴν σπουδήν; καὶ πῶς ἕκαστος αὐτῶν ἀνατρέπεται καὶ ἐκβάλλεται; πολλὰ γὰρ αὐτῶν ἐστι τὰ πανουργεύματα, καὶ τὰ τῆς ἐπιβουλῆς κινήματα. ὁ μὲν οὖν μακάριος ἀπόστολος καὶ οἱ κατ' αὐτόν, ᾔδεισαν τὰ τοιαῦτα λέγοντες. οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. ἡμεῖς δὲ ἀφ' ὧν ἐπειράσθημεν παρ' αὐτῶν, ὀφείλομεν ἀλλήλους ὑπ' αὐτῶν διορθοῦσθαι. ἐγὼ γοῦν ἐκ μέρους πεῖραν αὐτῶν ἔχων, ὡς τέκνον λέγω. οὗτοι μὲν οὖν ἐὰν ἴδωσι καὶ πάντας μὲν χριστιανούς, μάλιστα δὲ μοναχούς, φιλοπονοῦντας καὶ προκόπτοντας: πρῶτον μὲν ἐπιχειροῦσι καὶ πειράζουσιν, ἐχόμενα τρίβου τιθέντες σκάνδαλα. σκάνδαλα δὲ αὐτῶν εἰσίν, οἱ πονηροὶ λογισμοί. οὐ δεῖ δὲ ὑμᾶς φοβεῖσθαι τὰς ἀπειλὰς αὐτῶν· εὐχαῖς γὰρ καὶ νηστείαις καὶ τῇ εἰς τὸν κύριον πίστει, πίπτουσιν εὐθὺς ἐκεῖνοι. ἀλλὰ καὶ πεσόντες οὐ παύονται, αὖθις δὲ πάλιν προσέρχονται πανούργως καὶ δολίως. ἐπειδὰν γὰρ ἐκ φανεροῦ καὶ ῥυπαρᾶς ἡδονῆς μὴ δυνηθῶσιν ἀπατῆσαι τὴν καρδίαν· ἄλλως πάλιν ἐπιβαίνουσι. καὶ λοιπὸν φαντασίας ἀναπλάττοντες ἐκφοβεῖν προσποιοῦνται· μετασχηματιζόμενοι, καὶ μιμούμενοι γυναῖκας, θηρία, ἑρπετά, καὶ μεγέθη σωμάτων, καὶ πλῆθος στρατιωτῶν. ἀλλ' οὐδ' οὕτως δεῖ τὰς τούτων φαντασίας δειλιᾶν. οὐδὲν γάρ εἰσιν, ἀλλὰ καὶ ταχέως ἀφανίζονται: ἐὰν μάλιστα τῇ πίστει καὶ τῷ σημείῳ τοῦ σταυροῦ τις ἑαυτὸν περιφράττει. τολμηροὶ δέ εἰσι καὶ λίαν ἀναιδεῖς. ἐὰν γὰρ καὶ οὕτως ἡττηθῶσιν, ἄλλῳ τρόπῳ πάλιν ἐπιβαίνουσι. καὶ προσποιοῦνται μαντεύεσθαι καὶ προλέγειν τὰ μεθ' ἡμέρας ἐρχόμενα: δεικνύειν τε ἑαυτοὺς

ὑψη-

appellari hoc nomine, nō quòd tales sint creati; nihil enim mali creavit Deus: sed boni creati & ipsi, exciderunt illâ cælesti sapientia. Pòst in terra volutati, paganos phantasiis deceperunt. Nobis verò Christianis invidendo, atq; omnem lapidem movēdo; nostrum in cælos ascensum impedire cupiunt; ne illuc, unde ipsi delapsi, nos ascendamus. Ideò multis precibus atq; exercitatione est opus: ut accepto quis Spiritus dono discernendi spiritus, 1. Cor. 12, 9. *horum naturas nosse possit; Quinam eorum sint minus nequam, qui nequiores? quod unius cujusq; sit studium serium?* Math. 12, 45 *& quomodo singuli prosternantur & ejiciantur? Multi enim illorum sunt doli, multæ insidiæ, quas parant. Beatus itaq; apostolus, ejusq; æmuli, talia norant, quum dicerent; Non enim i-* 2. Cor. 2, 11. *gnoramus cogitationes ejus. Verùm nos, ab iis ipsis tentati, piorum illorum exemplo, alii alios corrigamus. Quorum ego partem quandam expertus, hæc vobis filii dico. Quum igitur vident, tum Christianos universos, tum monachos potissimùm, laboris studio progressus facere: primùm adoriuntur & tentāt, positis in semita obstaculis. Obstacula autem ipsorum sunt, improbæ cogitationes, [quas suggerunt.] Neq; est quòd eorum minis terreamini: precibus enim & jejuniis, fideq; in Dominum, illicò ipsi cadunt. Nec lapsi, quiescunt: sed rursum vafrè ac dolosè adventant, ac si apertè obscœnâ voluptate cor inescare nesciant, aliâ aggrediuntur viâ, & visorum figmentis terrorem injicere nituntur, induendo formā fœmineam, bestiarum, serpentium, prægrandium corporum, & manum militum repræsentando. Verùm ne sic quidem illorum præstigiæ sunt reformidandæ. neq; enim sunt quicquam, & subitò etiam evanescunt; potissimum si fide & signo crucis quis se se muniat. Quaq; illorum est audacia & summa impudentia, quantumuis sic devicti, alio rursum modo accedunt; vaticinandi scientiam sibi vendi-*

 cant, fu-

*cant, futuraq́; prædicendi. adeò etiam proceros se se ostentant,
ut qui tectum [altitudine] attingant, immenseq́; sint latitudi-
nis: ut quos rationibus circumvenire non potuerint, hujusmo-
di visis clanculum abripiant. Quòd si hîc quoq; animum homi-
nis inveniant fide ac pœnitentiæ spe septum: principem dæmo-
num secum adducunt. Dicebat porrò Antonius, tales sæpe illos
Iob. 41. v. 9. conspici, qualem Iobo Dominus revelarit diabolum, his verbis;
10. Oculi ejus [ut] species Luciferi. de ore ejus lampades procedunt
11. « [sicut tædæ ignis] accensæ; & disjiciuntur ut craticula ignis, de
« naribus ejus procedit fumus camini, ardentis igne carbonum:
« flamma de ore ejus progreditur. Talis dæmoniorũ princeps quũ
apparet; terrefacit, ut jam dixi, magniloquus iste veterator,
ut rursus ipse Dominus redarguit, quum Iobo quidem, inquit,
Ibid. v 18. Reputavit quasi paleas ferrum; et quasi lignum putridum, æs;
22. reputavit autem mare, tanquam spongiam; & tartarum abyssi
23. quasi captivum; reputavit abyssum, tanquam ambulacrum. Et
Exod. 15. 9. per Prophetã; Dixit inimicus, persequar, & cõprehẽdã. & per
Esai. 10. 14. aliũ Prophetã, Vniuersam terrã manu meâ, ut nidũ; et sicut oua
derelicta tollã. Deniq; talia jactitare, & polliceri ac profiteri ni-
tũtur, ut pijs fucũ faciant. Verùm nos fideles neq; hac iterũ rati-
one ipsius phãtasias formidabimus, neq; voculis ejus attendẽdo
locũ dabimus. Mentitur .n. nec quicquã veri loquitur. Nimirũ
talia tamq́; multa cõfidenter effutiens, tanquã draco, hamo tra-
Iob. 40. 19. ctus est [captusq́;] à Servatore: tanquam jumentum, circa na-
sum capistrum accepit; tanquam fugitivus, nares circulo vin-
ctas habet, ac labia armillâ perforata. Ligatus est porrò à Do-
Iob. 40. 24. mino quasi passer, ut ipsi illudamus; suntq́; positi tam is, quàm
Lucæ 10. 19. qui cum illo dæmones, tanquam scorpiones & serpentes, ut à no-
bis Christianis calcentur. Certum ejus rei indicium, nos vita ra-
tione ipsi adversari. Qui enim mare exiccaturũ se se promisit,
& orbem*

ὑψηλοὺς ἄχρι τῆς στέγης φθάνοντας, καὶ πλατεῖς τῷ μεγέθει· ἵνα οὓς οὐκ ἠδυνήθησαν ἀπατῆσαι τοῖς λογισμοῖς, κἂν ταῖς τοιαύταις φαντασίαις ὑφαρπάσωσιν. ἐὰν δὲ καὶ οὕτως εὕρωσι τὴν ψυχὴν ἠσφαλισμένην τῇ πίστει καὶ τῇ ἐλπίδι τῆς μετανοίας· λοιπὸν ἐπάγονται τὸν ἄρχοντα ἑαυτῶν. καὶ φαίνεσθαι αὐτοὺς πολλάκις ἔλεγε τοιούτους εἶναι, οἷον τὸν διάβολον τῷ ἰὼβ ὁ κύριος ἀπεκάλυψε, λέγων· Οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς εἶδος ἑωσφόρου. ἐκ στόματος αὐτοῦ ἐκπορεύονται λαμπάδες καιόμεναι, καὶ διαρριπτοῦνται [ὡς] ἐσχάραι πυρός. ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καμίνου, καιομένης πυρὶ ἀνθράκων· φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐκπορεύεται. τοιοῦτος δὲ φαινόμενος ὁ τῶν δαιμονίων ἄρχων, ἐκφοβεῖ (καθὼς προεῖπον). μεγάλα λαλῶν ὁ πανοῦργος· ὡς πάλιν ἐξήλεγξεν αὐτὸν ὁ κύριος, τῷ μὲν ἰὼβ λέγων, ἥγηται μὲν σίδηρον ἄχυρα, χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν· ἥγηται δὲ θάλασσαν ὥσπερ ἐξάλειπτρον· τὸν δὲ τάρταρον τῆς ἀβύσσου ὥσπερ αἰχμάλωτον· ἐλογίσατο ἄβυσσον, ὡς περίπατον. διὰ δὲ τοῦ προφήτου· εἶπεν ὁ ἐχθρὸς, διώξας καταλήψομαι. καὶ πάλιν δι' ἑτέρου, τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρί μου ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ. καὶ ὅλως τοιαῦτα κομπάζειν ἐπιχειροῦσι, καὶ ἐπαγγέλλονται ταῦτα, ὅπως ἀπατήσωσι τοὺς θεοσεβοῦντας. ἀλλ' ἡμᾶς οὐδ' οὕτως πάλιν τοὺς πιστοὺς, τάς τε φαντασίας αὐτοῦ φοβεῖσθαι, καὶ ταῖς φωναῖς αὐτοῦ προσέχειν. ψεύδεται γάρ, καὶ οὐδὲν ὅλως ἀληθὲς λαλεῖ. ἀμέλει τοιαῦτα καὶ τοσαῦτα λαλῶν θρασυνόμενος, ὡς μὲν δράκων εἱλκύσθη τῷ ἀγκίστρῳ παρὰ τοῦ σωτῆρος· ὡς δὲ κτῆνος φορβαίαν ἔλαβε περὶ τὰς ῥῖνας, ὡς δὲ δραπέτης, κρίκῳ δέδεται τοὺς μυκτῆρας, καὶ ψελίῳ τετρύπηται τὰ χείλη. καὶ δέδεται μὲν παρὰ τοῦ κυρίου ὡς στρουθίον, εἰς τὸ καταπαίζεσθαι παρ' ἡμῶν· τέθεινται δὲ αὐτός τε καὶ οἱ σὺν αὐτῷ δαίμονες, ὡς σκορπιοὶ καὶ ὄφεις, εἰς τὸ καταπατεῖσθαι παρ' ἡμῶν τῶν χριστιανῶν· καὶ τούτου γνώρισμα, τὸ νῦν ἡμᾶς κατ' αὐτοῦ πολιτεύεσθαι. ὁ γὰρ τὴν θάλασσαν ἐπαγγελλόμενος ἐξαλείφειν

καὶ τὴν οἰκουμένην καταλαμβάνειν, ἰδοὺ νῦν οὐ δύναται κωλῦσαι τὴν ἄσκησιν ὑμῶν, ἀλλ' οὐδὲ ἐμὲ λαλοῦντα κατ' αὐτοῦ. μὴ τοίνυν προσέχωμεν οἷς ἂν λαλῇ, ψεύδεται γάρ· μηδὲ δειλιῶμεν αὐτοῦ τὰς φαντασίας, ψευδεῖς καὶ αὐτὰς τυγχανούσας. οὐ γὰρ φῶς ἐστὶν ἀληθὲς τὸ φαινόμενον ἐν αὐτοῖς: τοῦ δὲ ἡτοιμασμένου πυρὸς αὐτοῖς μᾶλλον τὰ προοίμια καὶ τὰς εἰκόνας φέρουσι. καὶ ἐν οἷς κατακαίεσθαι μέλλουσιν, ἐν τούτοις ἐκφοβεῖν τοὺς ἀνθρώπους πειράζουσι, ἀμέλει φαίνονται· καὶ παρ' αὐτὰ πάλιν ἀφανίζονται: βλάψαντες μὲν οὐδένα τῶν πιστῶν, φέροντες δὲ μεθ' ἑαυτῶν τὴν ἀφομοίωσιν τοῦ μέλλοντος αὐτοὺς δέχεσθαι πυρός· ὅθεν οὐδὲ οὕτως φοβεῖσθαι τούτους προσήκει. πάντα γὰρ αὐτῶν διὰ τὴν τοῦ χριστοῦ χάριν, εἰς οὐδέν ἐστι τὰ ἐπιτηδεύματα. δόλιοι δέ εἰσι καὶ ἕτοιμοι πρὸς πάντα μεταβάλλεσθαι καὶ μετασχηματίζεσθαι. πολλάκις γοῦν καὶ ψάλλειν μετ' ᾠδῆς προσποιοῦνται μὴ φαινόμενοι, καὶ μνημονεύουσι τῶν ἀπὸ τῶν γραφῶν λέξεων· ἔστι δὲ ὅτε καὶ, ἀναγινωσκόντων ἡμῶν, εὐθὺς ὥσπερ ἠχὼ λέγουσιν αὐτοὶ ταῦτα, ἅπερ ἀνέγνωμεν. πολλάκις δὲ καὶ κοιμωμένους ἡμᾶς διεγείρουσιν εἰς προσευχὰς καὶ τοῦτο συνεχῶς ποιοῦσι, σχεδὸν μὴ ἐπιτρέποντες ἡμῖν μηδὲ κοιμᾶσθαι. ἔστι δὲ ὅτε καὶ ἀποτυποῦντες ἑαυτοὺς εἰς σχήματα μοναχῶν, ὡς εὐλαβεῖς προσποιοῦνται λαλεῖν, ἵνα τῷ ὁμοίῳ σχήματι πλανήσωσι, καὶ λοιπὸν ἔνθα θέλουσιν ἑλκύσωσι τοὺς ἀπατηθέντας παρ' αὐτῶν. ἀλλ' οὐ χρὴ προσέχειν αὐτοῖς, κἂν εἰς προσευχὴν διεγείρωσι· κἂν συμβουλεύωσι μηδ' ὅλως ἐσθίειν· κἂν κατηγορεῖν καὶ ὀνειδίζειν προσποιῶνται, ἐν οἷς ποτε συνέγνωσαν ἡμῖν. οὐ γὰρ δι' εὐλάβειαν ἢ ἀλήθειαν ταῦτα ποιοῦσιν: ἀλλ' ἵνα τοὺς ἀκεραίους εἰς ἀπόγνωσιν ἐνέγκωσιν, καὶ ἀνωφελῆ τὴν ἄσκησιν εἴπωσι, ναυτιᾶσαί τε ποιήσωσι τοὺς ἀνθρώπους ὡς φορτικοῦ καὶ βαρυτάτου ὄντος τοῦ μονήρους βίου, καὶ ἐμποδίσωσι τοὺς κατ' αὐτὸν πολιτευομένους. ὁ μὲν οὖν προφήτης ἀποσταλεὶς παρὰ τοῦ κυρίου ἐταλάνιζε τοὺς τοιούτους λέγων· οὐαὶ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν. τὰ γὰρ τοιαῦτα ἐπιτηδεύματα καὶ ἐνθυμήματα, ἀνατρεπτικὰ τῆς εἰς ἀρετὴν φερούσης ἐστὶν ὁδοῦ. ὁ δὲ κύριος αὐτὸς δι' ἑαυτοῦ, καί τοι τἀληθῆ λέγοντας τοὺς δαίμονας,

& orbem terrarum comprehensurum: is neq; exercitationem vestram, neq; me contra se loquentem, impedire potest. Ne igitur ipsi garrienti auscultemus, quum mentiatur: nec objecta ejus, quæ & ipsa vana, reformidemus. Non enim verum lumē est, quod in istis visis apparet; sed ignis potius ipsis parati procemia & imagines. Quibus enim illi flammis exurentur, ijs homines exterrere conantur, & videntur; sed illicò evanescunt; neminem fidelium lædendo, sed secum ejus ignis similitudinem ferendo, qui ipsos excepturus est. Quare ne sic quidem sunt extimescendi. Omnes nanq; illorum machinationes, propter Christi gratiam, sunt irritæ. Dolosi quippe existunt, ac parati in omnia mutari atq; transfigurari. Vnde non rarò psalmos se canere simulant, & locorum Scripturæ mentionem faciunt. Non nunquam, nobis legentibus, repentè velut echo easdem voces reddunt. Sæpe ad preces nos dormientes excitant, idq; frequentāt, ut propemodum non sinant quiescere. Non nunquā monachorum habitu religiosos præ se ferunt sermones; ut similitudine illa in errorem inducant, & quo quo velint deceptos à se se pertrahant. Verùm aures nō sunt ipsis patefaciendæ, etiāsi ad precationē nos exsuscitent, etiāsi jejunij nobis autores sint, etiamsi accusare & humi prosternere idq; falsò, ducātur, ob quæ aliquādo nobis veniam dederint. Non enim pietatis aut veritatis nomine agitant talia: sed ut simplices ad desperationem redigant, Asceticam inutilem dicant, & vitæ monasticæ, tanquam tædiosæ maximéq; hominem gravantis, nauseam adferendo, obstēt, quo minus secundum illius præscriptū vivatur. Ideò tales Propheta missus à Domino miseros pronunciat, cum inquit; Væ qui potum dat proximo suo subversionem turbidam. Hujusmodi enim instituta & cogitata viam, quæ ad virtutem ducit, subvertunt. Ipse quoq; Dominus, quamvis dæmones vera loquerentur;

Matth. 25.41

Habacuc. 2. 15

Matth. 8. 29. Marc. 1. 25.

rentur; verè enim dixerunt, Tu es Filius Dei: tamen jussit obmutescere, fieriq; silentium. Ne qvando veritati qvid vitij de suo aspergant; utq; nos consuefaciat, à talibus aures nunquam non avertere, etiamsi vera loqui videantur. Indecorū etenim, qvum nobis sit sacra Scriptura, & à Servatore libertas; erudiri à diabolo, suæ stationis desertore, atq; alia quàm priùs sentētire. Idcirco & verbis illū Scripturæ uti prohibet, qvum inquit;

Psalm. 50.16 Peccatori autem dixit Deus, Quare tu enarras justicias meas, & assumis testamentum meum per os tuum? Omnia itaque faciunt, fingunt, turbant, in simplicium fraudem strepitum excitare, cachinnari, sibilare. Quibus si non attendas; deinceps flent, & tanquam victi lamentantur. Dominus igitur Deus dæmones ne biscere quidem est passus. Nos verò sanctorum eruditos exemplis, horum fortitudinem imitari decet. Ii enim talia cōspicati dixerunt; Cum consisteret peccator adversum me;

Psalm. 38. 2. obmutui, & humiliatus sum, & silui à bonis. Ac rursum, Ego

3\. 14. autem tanquam surdus non audiebam; & sicut mutus, non ape-

15\. riens os suum; & factus sum sicut homo non audiens. Quare illos neq; audiamus, quippe à nobis alienos: neque illis pareamus; licet ad preces excitent, licet de jejunijs verba faciant: sed proposito exercitationis nostræ magis insistamus: nec ab ijs nihil non vafrè factitantibus à semita nos abducamur: nec ab ijs nobis metuamus, etiamsi impetum facere videantur, etiamsi mortem minitentur. Debiles enim sunt, nec nisi minari possunt. atqve hæc hactenus obiter sint dicta. Nunc de ijsdem fusiùs & uberius dicere non pigebit: ista enim in memoriā vestram redigere; erit per quàm utile, Cum Dominus tanquam advena esset in terris; cecidit inimicus, ejusq; vires debilitatæ sunt. Quibus etsi jam non pollet, lapsus tyrannus: tamen non qviescit, sed vel nudis verbis minas jactat. Qvod singuli vestrum consideratu-

δαίμονας, ἀληθῆ γὰρ ἔλεγον, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ· ὅμως ἐφίμου, καὶ λαλεῖν ἐκώλυε· μή ποτε μετὰ τῆς ἀληθείας, καὶ τὴν ἰδίαν κακίαν ἐπισπείρωσι· καὶ ἵνα καὶ ἡμᾶς συνεθίσῃ, μηδέποτε τοῖς τοιούτοις προσέχειν, κἂν δοκῶσι τἀληθῆ λέγειν. καὶ γὰρ ἀπρεπὲς, ἔχοντας ἡμᾶς τὰς ἁγίας γραφὰς, καὶ τὴν παρὰ τοῦ σωτῆρος ἐλευθερίαν, διδάσκεσθαι παρὰ τοῦ διαβόλου, τοῦ μὴ τηρήσαντος τὴν ἰδίαν τάξιν, ἀλλ' ἕτερα ἀνθ' ἑτέρων φρονήσαντος. διὰ τοῦτο καὶ λαλοῦντα τοῦτον τὰς ἀπὸ τῶν γραφῶν λέξεις κωλύει λέγων· τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεὸς, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην διὰ στόματός σου· πάντα γὰρ ποιοῦσι, καὶ ὑποκρίνονται, καὶ ταράττουσι πρὸς ἀπάτην τῶν ἀκεραίων. καὶ κτύπους γοῦν ποιοῦσι, καὶ γελῶσιν ἀφρόνως, καὶ συρίττουσιν· ἂν δὲ μή τις αὐτοῖς προσέχῃ, λοιπὸν κλαίουσι καὶ θρηνοῦσιν ὡς ἡττηθέντες. ὁ μὲν οὖν κύριος ὁ θεὸς ἐφίμου τοὺς δαίμονας. ἡμᾶς δὲ μαθόντας ἀπὸ τῶν ἁγίων, πρέπει κατ' ἐκείνους ποιεῖν, καὶ μιμεῖσθαι τὴν ἀνδρείαν αὐτῶν. καὶ γὰρ κἀκεῖνοι ταῦτα βλέποντες ἔλεγον, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου ἐκωφώθην, καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν. καὶ πάλιν, ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος, οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ· ἐγενήθην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων. οὐκοῦν καὶ ἡμεῖς μήτε ἀκούωμεν αὐτῶν ὡς ἀλλοτρίων ὄντων ἡμῶν, μήτε ὑπακούωμεν αὐτῶν, κἂν εἰς εὐχὴν ἐγείρωσι, κἂν λαλῶσι περὶ νηστειῶν. τῇ δὲ προθέσει τῆς ἀσκήσεως ἑαυτῶν μᾶλλον προσέχωμεν, καὶ μὴ παρ' ἐκείνων ἀπατώμεθα, πάντα πραττόντων μετὰ δόλου. οὐ δεῖ δὲ φοβεῖσθαι αὐτοὺς, κἂν ἐπέρχεσθαι δοκῶσι, κἂν θάνατον ἀπειλῶσιν. ἀσθενεῖς γάρ εἰσι καὶ οὐδὲν δύνανται, ἢ μόνον ἀπειλεῖν. ἤδη μὲν οὖν περὶ τούτου παρερχόμενος εἴρηκα. καὶ νῦν δὲ πλατύτερον εἰπεῖν τὰ περὶ αὐτῶν οὐκ ὀκνητέον, ἀσφαλὴς γὰρ ὑμῖν ἡ ὑπόμνησις ἔσται. ἐπιδημήσαντος τοῦ κυρίου, πέπτωκεν ὁ ἐχθρὸς, καὶ ἠσθένησαν αἱ δυνάμεις αὐτοῦ. διὰ τοῦτο γοῦν μηδὲν δυνάμενος, ὅμως ὁ τύραννος καὶ πεσὼν οὐκ ἠρεμεῖ· ἀλλὰ κἂν λόγοις μόνον ἀπειλεῖ. καὶ τοῦτο ἕκαστος ὑμῶν λογιζέσθω,

*οὕτως καὶ δύναται καταφρονεῖν τῶν δαιμόνων. εἰ μὲν τοιούτοις σώμασιν οὖν ἦσαν ἐνδεθέντες, ὥσπερ ἐσμὲν ἡμεῖς: δυνατὸν ἦν αὐτοῖς λέγειν, ὅτι κρυπτομένους μὲν τοὺς ἀνθρώπους οὐχ εὑρίσκομεν, εὑρόντες δὲ βλάπτομεν. ἠδυνάμεθα δὲ καὶ ἡμεῖς κρυπτόμενοι λαθεῖν αὐτοὺς κλείοντες κατ' αὐτῶν τὰς θύρας. εἰ δὲ οὐκ εἰσὶν οὕτως, ἀλλὰ κεκλεισμένων τῶν θυρῶν δύνανται εἰσελθεῖν, καὶ ἐν τῷ παντὶ ἀέρι τυγχάνουσιν αὐτοί τε καὶ ὁ πρῶτος τούτων διάβολος: εἰσὶ δὲ κακοθελεῖς καὶ πρὸς τὸ βλάπτειν ἕτοιμοι, καὶ (ὡς εἶπεν ὁ σωτὴρ) ἐξ ἀρχῆς ἀνθρωποκτόνος ἐστὶν ὁ τῆς κακίας πατὴρ διάβολος: ζῶμεν δὲ καὶ νῦν ἡμεῖς καὶ μᾶλλον κατ' αὐτοῦ πολιτευόμεθα: δῆλοί εἰσι μηδὲν ἰσχύοντες. οὔτε γὰρ τόπος αὐτοὺς εἰς τὸ ἐπιβουλεύειν κωλύει. οὔτε φίλους ἡμᾶς ὁρῶσιν ἑαυτῶν, ἵνα φείσωνται, οὔτε φιλάγαθοί εἰσιν, ἵνα διορθώσωνται: ἀλλὰ καὶ μᾶλλον εἰσὶ πονηροί: καὶ οὐδὲν αὐτοῖς ἐστιν, *ὡς τὸ βλάπτειν τοὺς φιλαρέτους καὶ θεοσεβοῦντας. διὰ δὲ τὸ μηδὲν δύνασθαι ποιεῖν, διὰ τοῦτο οὐδὲν ποιοῦσιν, ἢ μόνον ἀπειλοῦσιν. εἰ γὰρ ἠδύναντο, οὐκ ἔμελλον: ἀλλ' εὐθὺς ἐνήργουν τὸ κακὸν, ἑτοίμην ἔχοντες εἰς τοῦτο τὴν προαίρεσιν, καὶ μάλιστα καθ' ἡμῶν. ἰδοὺ γοῦν νῦν συνελθόντες κατ' αὐτῶν λαλοῦμεν, καὶ ἴσασιν ὅτι προκοπτόντων ἡμῶν ἀσθενοῦσιν αὐτοί. εἰ τοίνυν εἶχον ἐξουσίαν, οὐδένα ἂν ἡμῶν τῶν χριστιανῶν ἀφῆκαν ζῆν. βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια. ἐπειδὴ δὲ οὐ δύνανται, διὰ τοῦτο μᾶλλον ἑαυτοὺς τιτρώσκουσι: ὅτι μηδὲν δύνανται ποιεῖν ὧν ἀπειλοῦσιν. ἔπειτα κἀκεῖνο λογίζεσθαι χρὴ, πρὸς τὸ μὴ φοβεῖσθαι τούτους: εἰ τὸ δυνατὸν ὑπῆρχεν αὐτοῖς, οὐκ ἂν ἤρχοντο μετ' ὄχλου, οὐδὲ φαντασίας ἐποίουν, οὐδὲ μετασχηματιζόμενοι ἐμεθόδευον: ἀλλ' ἤρκει καὶ μόνον ἐλθεῖν ἕνα, καὶ ποιῆσαι τοῦτο ὅπερ δύναται καὶ βούλεται. καὶ μάλιστα ὅτι πᾶς τὴν ἐξουσίαν ἔχων, οὐ μετὰ φαντασίας ἀναιρεῖ, οὐδὲ τοῖς ὄχλοις ἐκφοβεῖ: ἀλλ' εὐθὺς ὡς βούλεται τῇ ἐξουσίᾳ καταχρῆται. ἀλλ' οἱ δαίμονες μηδὲν δυνάμενοι, παίζουσιν ὡς ἐπὶ σκηνῆς, ἀλλάττοντες τὰς μορφὰς, καὶ τοὺς παῖδας ἐκφοβοῦντες, τῇ τῶν ὄχλων φαντασίᾳ καὶ τοῖς σχηματισμοῖς: ἐξ ὧν μᾶλλον καταφρονητέοι ὡς ἀσθενεῖς ἐφει-

λου

* ἴσ. οὕτως, ἢ οὕτω

* λείπει ἴσ. οὕτω καταδυόμενοι.

raturi, dæmonas nauci habebitis. Qui si iisdem, quibus nos corporis essent vinculis astricti: negare possent, homines occultatos inveniri à sese; quos inveniant, iis se nocumento esse. Possemus & nos latitare occulti, aditu ipsis ad nos intercluso. Nunc quum alia sit eorundem natura, & januis clausis, quò volunt, penetrent; atque in aëre tam ipsi, quàm eorum princeps diabolus, vagentur; nec nisi mali studio teneantur, ad lædendum parati; quumq; (ut Servator dixit) ab initio homicida fuerit, vitii autor diabolus: vitam ubi eam vixerimus, quæ ipsorum desideriis magis magisq; adversetur; constat haud prævalituros unquam esse. Neque enim locus eorum insidiis obstat; neque nos amicos agnoscunt, quibus parcant; neque boni amore præclarè agunt; sed ad malitiam propendent magis; nec iis tam est quicquã cura, quàm virtutis & pietatis sectatores lædere. Et quia nervi omnes illis præcisi, nil præter comminationes movent. Non cunctaturi, si quid esset virium; sed mala confestim operaturi, quum voluntas sit prompta, præsertim adversus nos. En itaq; jã congregati, contra ipsos loquimur; seq; norunt progressu vestro enervari. Quibus si quid potestatis esset, nemo Christianus per ipsos viveret. Execratio enim peccatori, Cultura Dei. Viribus ergò destituti, ipsi se se vulnerant, cum minæ penitus sint inanes. Est & hoc dignum consideratione, cur minus sint metuendi. Si quid ipsis esset roboris; non cum turba irruerent, non phantasmata obiicerent, nõ transfigurati, ex insidiis, quẽquam adorirentur: sed satis foret, unum aliquẽ expedire quod posset velletq;. Cui enim cunque potestatis est aliquid: non nubẽ oculis obiicit, non tumultu terrefacit: sed sua pro arbitrio potestate jam jã utitur. Sed dæmones, invalidi ad quicquam, velut in scena ludunt, mutatis formis, & pueros terrent turbarum visis & figuris; ut jure, tanquam imbecilles, magis contemnantur.

Ioan. 8 44.

Ecclesiastici 1. 32.

tur. Angelus ergo verus, à Domino missus contra Assyrios, non
4. Reg.19.35. *multitudine indiguit, non externis visis, non strepitu, nō plausu: sed sensim usus potestate, confestim centum octoginta qvinq; millia percussit. At dæmones (sicuti jam est dictum) qvum nihil viribus polleant, cujusmodi sunt hi, non nisi per visa timorem conantur incutere. Qvòd si, considerato quis Iobi exemplo, di-*
Iob.1.2. *cat, Cur diabolus contra illum egressus, nihil non potuit? bonis ipsum spoliavit, liberos ejus interemit, ulcere illum pessimo percussit. Is sciat, non fuisse hanc diaboli vim, sed Dei, qui Iobum illi, ut probaretur, tradidit. Nimirum qvia nihil per se potuit, petiit, impetravitq;. Qvare hinc etiam hostis fit contemptior, qvi ne volens qvidem ulli justo qvicquā intentare potest, nam si posset, non petiisset. Petendo autem non semel, sed iterum: suam ostendit infirmitatem, & qvàm impotens sit. Neq; porrò mirum, adversus Iobum nihil ipsum valuisse: qvum nec jumentis perniciem, nisi Deo permittente, adferre potuerit. Qvid qvòd neq; in porcos aliqva ipsi potestas est. Rogabant enim (ut*
Matth.8. 31. *in Evangelio scriptum est) Dominum, dicentes; Permitte nobis abire in gregem porcorum. Qvòd si nihil ei est in porcos imperii: multò minus in hos, qui ad Dei imaginem facti sunt, dominabitur. Solus igitur Deus timendus est; illi spernendi, & nequaquam metuendi. Qvin, qvanto plura intentant, tanto ardentius ascetica nos dedamus. Armat enim adversus illos & munitissimum reddit vita sincera & in Deum fides. Metu ergo ipsos percellit ascetarum jejunium, pervigilationes, preces, mansuetudo, tranqvillitas [animi] pecuniæ atq; inanis gloriæ contemptus, humilitas mentis, amor pauperum, misericordia, iræ vacuitas, & præ cæteris pietas in Christum. Ideò namq; ni-*
Lucæ.10.19. *hil intentatum relinqvunt, ne sint qvi ipsos conculcent. Norūt qvippe gratiam fidelibus à Servatore nostro datā, cum inqvit;*

λῃστὴν εἶναι. ὁ γοῦν ἀληθινὸς ἄγγελος ἀποσταλεὶς παρὰ τοῦ κυρίου κατὰ τῶν Ἀσσυρίων, οὐ χρείαν ἔσχεν ὄχλων, οὐ φαντασίας τῆς ἔξωθεν, οὐ κτύπων, οὐ κρότων· ἀλλ' ἠρέμα τῇ ἐξουσίᾳ ἐχρήσατο, καὶ ἀνεῖλεν εὐθὺς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας. οἱ δὲ μηδὲν δυνάμενοι δαίμονες, οἷοί εἰσιν αὐτοί, κἂν τῆς φαντασίας ἐκφοβεῖν μόνον πειράζουσιν. ἐὰν δέ τις τὰ τοῦ Ἰὼβ λογίσηται, καὶ εἴπῃ· διὰ τί νῦν ἐξελθὼν ὁ διάβολος πάντα κατ' αὐτοῦ πεποίηκε; καὶ τῶν μὲν ὑπαρχόντων αὐτὸν ἐψίλωσε, τὰ δὲ τέκνα ἀνεῖλε, καὶ ἐκεῖνον ἔπαισεν ἕλκει πονηρῷ· γινωσκέτω πάλιν ὁ τοιοῦτος, ὡς οὐκ ἦν ὁ διάβολος ὁ ἰσχύων· ἀλλ' ὁ Θεὸς ὁ παραδιδοὺς αὐτῷ πρὸς πεῖραν τὸν Ἰώβ. ἀμέλει μηδὲν δυνάμενος ποιῆσαι, ᾔτησε καὶ ἔλαβεν. ὥστε καὶ ἐκ τούτου μᾶλλον καταγνωστέος ἐστὶν ὁ ἐχθρός, ὅτι καίτοι θέλων, οὐδὲ καθ' ἑνὸς ἴσχυσεν ἀνθρώπου δικαίου. εἰ γὰρ ἴσχυσεν, οὐκ ἂν ᾔτησεν. αἰτήσας δὲ οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον, φαίνεται ἀσθενὴς καὶ μηδὲν δυνάμενος. καὶ οὐ θαυμαστὸν εἰ κατὰ τοῦ Ἰὼβ οὐκ ἴσχυσεν· ὅπου γε οὐδὲ κατὰ τῶν κτηνῶν αὐτοῦ ἐγένετο * ὄλεθρος, εἰ μὴ συγχωρήσας ἦν ὁ Θεός. ἀλλ' οὐδὲ κατὰ χοίρων ἔχει τὴν ἐξουσίαν. παρεκάλουν γάρ, ὡς ἐν τῷ εὐαγγελίῳ γέγραπται, τὸν κύριον, λέγοντες· ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τοὺς χοίρους. εἰ δὲ μηδὲ κατὰ χοίρων ἔχουσιν ἐξουσίαν, πολλῷ μᾶλλον τῶν κατ' εἰκόνα Θεοῦ γεγονότων ἀνθρώπων οὐ κυριεύουσι. τὸν Θεὸν ἄρα μόνον φοβεῖσθαι δεῖ· τούτων δὲ καταφρονεῖν, καὶ μηδ' ὅλως αὐτοὺς δεδιέναι. ἀλλὰ καὶ μᾶλλον ὅσον ταῦτα ποιοῦσιν, ἐπιτείνωμεν ἡμεῖς τὴν ἄσκησιν. μέγα γὰρ ὅπλον ἐστὶ κατ' αὐτῶν, βίος ὀρθὸς καὶ ἡ πρὸς Θεὸν πίστις. φοβοῦνται γοῦν τῶν ἀσκητῶν τὴν νηστείαν, τὴν ἀγρυπνίαν, τὰς εὐχάς, τὸ πρᾶον, τὸ ἥσυχον, τὸ ἀφιλάργυρον, τὸ ἀκενόδοξον, τὴν ταπεινοφροσύνην, τὸ φιλόπτωχον, τὰς ἐλεημοσύνας, τὸ ἀόργητον, καὶ προηγουμένως, τὴν εἰς τὸν Χριστὸν εὐσέβειαν. διὰ τοῦτο γὰρ καὶ πάντα ποιοῦσιν, ἵνα μὴ ἔχωσι τοὺς καταπατοῦντας αὐτούς. ἴσασι γὰρ τὴν κατ' αὐτῶν δοθεῖσαν χάριν τοῖς πιστοῖς παρὰ τοῦ σωτῆρος, λέγοντος αὐτοῖς·

* ἴσ. ὀλέθριος

ἰδοὺ δέδωκα ὑμῖν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. ἂν τοίνυν καὶ προλέγειν ὑποκρίνωνται, μὴ προσποιείσθω τις. πολλάκις γὰρ πρὸ ἡμῶν λέγουσι, τοὺς μεθ' ἡμέρας ἀπαντῶντας ἀδελφούς. καὶ ἔρχονται μὲν ἐκεῖνοι. ποιοῦσι δὲ τοῦτο οὗτοι, οὐ κηδόμενοι τῶν ἀκουόντων· ἀλλ' ἵνα πιστεύειν αὐτοῖς πείσωσιν αὐτούς· καὶ τότε λοιπὸν ὑποχειρίους ἔχοντες, ἀπολέσωσιν. ὅθεν οὐ δεῖ προσέχειν αὐτοῖς· ἀλλὰ καὶ λέγοντας ἀνατρέπειν χρή, ὅτι μὴ χρείαν ἔχομεν ἡμεῖς τούτων. τί γὰρ θαυμαστόν, εἰ λεπτοτέροις χρώμενοι σώμασι μᾶλλον τῶν ἀνθρώπων, καὶ τοὺς ἀρξαμένους ὁδεύειν ἑωρακότες, προλαμβάνουσι τῷ δρόμῳ καὶ ἀπαγγέλλουσι. τοῦτο καὶ ἱππεύς τις ἐπικαθήμενος προλέγει, προλαμβάνων τοῦ ὁδεύοντος τοῖς ποσίν. ὥστε οὐδ' ἐν τούτῳ χρὴ θαυμάζειν αὐτούς. οὐδὲν γὰρ τῶν μὴ γινομένων προγινώσκουσιν· ἀλλὰ μόνος ὁ θεός ἐστιν, ὁ * πάντα γινώσκων πρὶν γενέσεως αὐτῶν. οὗτοι δὲ ἃ βλέπουσιν, ὡς κλέπται, προτρέχοντες ἀπαγγέλλουσι. πόσοις νῦν τὰ ἡμῶν; καὶ ὅτι συνήλθομεν, καὶ ὁμιλοῦμεν κατ' αὐτῶν σημαίνουσι, πρὶν παρ' ἡμῶν τις ἀπελθὼν ἀπαγγείλῃ. τοῦτο δὲ καὶ παῖς τις ταχυδρόμος ποιῆσαι δύναται, προλαβὼν τὸν βραδύναντα. ὃ δὲ * λέγειν, τοιοῦτόν ἐστιν. ἄν τις ἄρξηται περιπατεῖν ἀπὸ τῆς Θηβαΐδος, ἢ ἀπό τινος ἄλλης χώρας, πρὶν μὲν ἄρξηται περιπατεῖν, οὐκ ἴσασιν εἰ περιπατήσει· περιπατοῦντα δὲ τοῦτον ἑωρακότες, προτρέχουσι, καὶ πρὶν αὐτὸν ἐλθεῖν, ἀπαγγέλλουσι. καὶ οὕτω συμβαίνει * τούτους μεθ' ἡμέρας ἐλθεῖν. πολλάκις δὲ τῶν περιπατούντων ὑποστρεφόντων, ἐψεύσαντο αὐτοί. οὕτω καὶ περὶ τοῦ ποταμίου ὕδατός ἐστιν ὅτι φλυαροῦσιν. ἑωρακότες γὰρ πολλοὺς ὑετοὺς γινομένους ἐν τοῖς τῆς Αἰθιοπίας μέρεσι· καὶ εἰδότες ὡς ἐξ ἐκείνων ἡ πλημμύρα τοῦ ποταμοῦ γίνεται, πρὶν ἐλθεῖν εἰς τὴν Αἴγυπτον τὸ ὕδωρ, προτρέχοντες λέγουσι. τοῦτο δ' ἂν καὶ ἄνθρωποι εἰρήκασιν, εἰ τοσοῦτον ἐδύναντο δραμεῖν ὅσον ἐκεῖνοι. καὶ ὥσπερ ὁ σκοπὸς τοῦ Δαβὶδ ἀνερχόμενος εἰς ὑψηλόν, μᾶλλον τοῦ κάτω μένοντος προέβλεπε τὸν ἐρχόμενον·

* ἀϊδίως τὰ πάντα πρὶν γ. a. lib ed.

* λέγω

* τούτω

καὶ αὐ-

Ecce, dedi vobis potestatem calcandi supra serpentes & scorpiones, & super omnem virtutem inimici. Dum itaq; futura se prædicere simulant, ne quis usurpet. Sæpe enim fratrum adventum prænunciant, dies aliquot: & hi sanè veniunt. Sed hoc ab illis fit, non ratione aliquâ auditorum habitâ; verùm ut fidem sibi habere persuadeant, itaq; velut mancipatos disperdãt. Quocirca non sunt audiendi, sed exturbandi; iisq; nihil nobis hac arte opus esse, dicendum. Quid enim admirabile, quum ipsis subtiliora, quàm hominibus, sint corpora, si quos iter ingredi videant, cursu antevertere, & annunciare? idem & eques possit, peditem prævertendo. Quare neq; in hoc sunt admiratione digni. Nihil enim prius, quam sit factum, norunt: estq; solus Deus qui novit omnia, antequam fiant. Illi, quæ cernunt, tanquam impostores furtim præcurrendo quàm multis jam quæ inter nos geruntur referant, [quis dubitet?] & convenisse nos, & contra ipsos colloqui, significant, priusquam à nobis discessurus quis idem narret. Quod nemo non velociter currendo, & cunctatorem prævertendo, similiter posset. Hoc ita intelligo. Si quis è Thebaide aut ex alia quadam regione ambulare instituerit; ambulaturum nesciunt priùs, quàm initium fiat, ambulantem ubi viderunt, præcurrunt, ejusq; adventum annunciant; itaq; post dies aliquot is advenit. Sæpe autem numero illi ipsi sunt mentiti, quòd pedem egressus revocasset. Pariter nugantur nonnunquam de fluminum exundationibus. Cùm enim in Aethiopiæ partibus crebros incidisse imbres perspexerunt, indeq; conjecerunt, fluvium exundaturum esse: id cursu accelerato, antequam in Aegypto accidat, indicant. Quod neque homini esset difficile præstitu, si eâdem ad cursum velocitate valeret. Et quemadmodum Davidis speculator, conscenso loco edito, facilius & prior vidit venientem, quàm qui inferius

Daniel. 13, 42

2. Reg. 13. 34

inferius substitit; et ipse ante alios, percurrens, nõ infecta, sed quæ jam jam fierent, indicavit: ita & illi [dæmones] dicuntur laborare, & alij alijs referre, tantùm ad decipiendum. Quòd si divinâ providentiâ neq; exundatio aquarum subsecuta, neq; viator confecit iter: tum illi mentiti, quiq; ipsis auscultarunt, decepti sunt. Talia fuerunt Græcorum oracula; neq; aliter à dæmonibus fuerunt olim homines in errorem pertracti. Cui sic tãdem occursum est. Venit [in terram] dominus, qui dæmonas cum errorum figmentis è medio sustulit. Nihil namq; ipsi ex se norunt: sed quæ apud alios cernunt, ceu fures carpunt: & magis conijciunt, quàm futurorum sunt præscij. Nam etiam medici, morborum peritiâ, cognito in alijs morbo simili, divinant sæpe quadã consuetudine. Navicularij quoq; & agricolæ, more suo, cæli observata temperatione, aut tempestatem aut serenitatem prædicunt; neq; id divinæ ipsorum providentiæ adscribimus, sed consuetudini & experientiæ. Vnde, ut aliquando eadem conjecturâ dicant dæmones, non propterea sunt admiratione, & quibus auscultetur digni. Quis enim inde ad auditores redit fructus, ex istis dies aliquot antè, ventura scire? aut quid operis, talia cognoscere, tametsi vera sint? Neq; enim virtutem id conciliat, neq; certum bonæ indolis indicium. Nemo namq; nostrũ judicatur, aut reus peragitur, quòd aliquid ignorarit: nec quisquam beatus prædicatur, quòd tale quid didicerit aut cognorit. Sed in his judicium est unicuiq; subeundum, si Fidem retinuerit, & mandata pro eo ac par est, observarit. Non igitur ista sunt magni facienda: sed exercitationi & laboribus vacandũ, non ut præsciamus quid, verùm ut præclarâ vitæ functione Deo probemur: estq; orandum, non pro futurorum scientia, tãquam pro exantlatorum laborum mercede; sed ut nobis Dominus in victoria, cum diabolo conflicturis, reportanda ne desit.

Quòd si

καὶ αὐτοὺς δὲ προτρέχων λέγει πρὸ τῶν ἄλλων· οὐ τὰ μὴ γινόμενα, ἀλλὰ τὰ ἤδη ὁδεύοντα καὶ γινόμενα: οὕτω καὶ οὐχὶ κάμνειν ἐρωῶνται, καὶ σημαίνουσιν ἀλλήλοις, ἵνα μόνον ἀπατῶνται. ἂν μέντοι ἡ πρόνοια μεταξύ τι βουλεύσηται περὶ τῶν ὑδάτων, ἢ τῶν ὁδευόντων· ἔξεστι γὰρ αὐτῇ: ἐψεύσαντο οἱ δαίμονες, καὶ ἠπατήθησαν οἱ προσσχόντες αὐτοῖς. οὕτω συνέστη τὰ τῶν ἑλλήνων μαντεῖα, καὶ οὕτως ἐπλανήθησαν οἱ παρὰ τῶν δαιμόνων τὸ πρίν. ἀλλὰ καὶ οὕτω πέπαυται λοιπὸν ἡ πλάνη. ἦλθε γὰρ ὁ κύριος ὁ σὺν αὐτῇ τῇ πανουργίᾳ αὐτῶν, καὶ τοὺς δαίμονας καταργήσας. οὐδὲν γὰρ γινώσκουσιν ἀφ' ἑαυτῶν: ἀλλ' ὡς κλέπται ἃ παρ' ἄλλοις ὁρῶσι, ταῦτα διαβάλλουσι· καὶ μᾶλλον στοχασταί εἰσιν ἢ προγνῶσται. διὸ κἂν ἀληθῆ ποτε τοιαῦτα λέγουσι, μηδ' οὕτως αὐτοὺς θαυμαζέτω τις. καὶ γὰρ καὶ ἰατροὶ πεῖραν ἔχοντες τῶν νοσημάτων, ἐπειδὰν θεωρήσωσιν ἐν ἄλλοις τὴν αὐτὴν νόσον, πολλάκις στοχαζόμενοι ἀπὸ τῆς συνηθείας προλέγουσι. καὶ κυβερνῆται δὲ καὶ γεωργοί, πάλιν ἀπὸ τῆς συνηθείας βλέποντες τὴν τοῦ ἀέρος κατάστασιν, προλέγουσιν ἢ χειμῶνα, ἢ εὔδιον ἀέρα ἔσεσθαι· καὶ οὐ διὰ τοῦτο ἐκ θείας προνοίας αὐτοὺς ἄν τις εἴποι προλέγειν, ἀλλ' ἀπὸ τῆς πείρας καὶ τῆς συνηθείας. ὅθεν εἰ καὶ οἱ δαίμονες τὰ αὐτά ποτε στοχαζόμενοι λέγουσι, μὴ διὰ τοῦτό τις αὐτοὺς θαυμαζέτω, μηδὲ προσεχέτω τούτοις. τί γὰρ χρήσιμον τοῖς ἀκούουσι, τὸ εἰδέναι παρὰ τούτων πρὸ ἡμερῶν τὰ ἐρχόμενα; ἢ ποία σπουδὴ, τὰ τοιαῦτα γινώσκειν, κἂν ἀληθῶς γινώσκῃ. οὐ γὰρ ἀρετῆς τοῦτο ποιητικὸν, οὐδὲ ἤθους ἀγαθοῦ, πάντως ἐστὶ τοῦτο γνώρισμα. οὐδεὶς γὰρ ἡμῶν κρίνεται * διὰ τὸ οὐκ οἶδεν, καὶ οὐδεὶς μακαρίζεται ὅτι μεμάθηκε καὶ ἔγνω· ἀλλ' ἐν τούτοις ἕκαστος ἔχει τὴν κρίσιν, εἰ τὴν πίστιν τετήρηκε· καὶ τὰς ἐντολὰς γνησίως ἐφύλαξεν. ὅθεν οὐ δεῖ περὶ πολλοῦ ποιεῖσθαι ταῦτα: ἀσκεῖσθαι δὲ καὶ πονεῖν· οὐχ ἵνα προγινώσκωμεν, ἀλλ' ἵνα θεῷ καλῶς πολιτευόμενοι ἀρέσωμεν· εὔχεσθαι δέ τι χρή, οὐχ ἵνα προγινώσκωμεν, οὐδὲ τοῦτον τῆς ἀσκήσεως ἀπαιτεῖν μισθὸν: ἀλλ' ἵνα συνεργὸς ἡμῖν εἰς τὴν κατὰ τοῦ διαβόλου νίκην ὁ κύριος γένηται.

* ἴσ. διότι

εἰ δὲ ἅπαξ καὶ τὸ προγινώσκειν ἡμῖν μέλει, καθαρεύωμεν τῇ διανοίᾳ. ἐγὼ γὰρ πιστεύω, ὅτι καθαρεύουσα ψυχὴ πανταχόθεν, καὶ κατὰ φύσιν ἑστῶσα, δύναται, διορατικὴ γενομένη, πλείονα καὶ μακρότερα βλέπειν τῶν δαιμόνων, ἔχουσα τὸν ἀποκαλύπτοντα κύριον αὐτῇ. οἵα ἦν ἡ τοῦ ἐλισσαίου βλέπουσα τὰ τοῦ Γιεζῆ, καὶ ὁρῶσα τὰς παρ' αὐτῇ ἑστώσας δυνάμεις. ὅτ' ἂν τοίνυν νυκτὸς ἔρχωνται πρὸς ἡμᾶς, καὶ θέλωσι τὰ μέλλοντα λαλεῖν· ἢ λέγωσιν, ἡμεῖς ἐσμὲν οἱ ἄγγελοι : μὴ προσέχετε, ψεύδονται γάρ. ἂν δὲ καὶ ἐπαινῶσι τὴν ἄσκησιν ἡμῶν καὶ μακαρίζωσιν ὑμᾶς: μήτε ὑπακούετε, μήθ' ὅλως προσποιεῖσθε τούτοις. σφραγίζετε δὲ μᾶλλον ἑαυτοὺς καὶ τὸν οἶκον, καὶ εὔχεσθε: καὶ ὄψεσθε αὐτοὺς γινομένους ἀφανεῖς. δειλοὶ γάρ εἰσι, καὶ πάνυ φοβοῦνται τὸ σημεῖον τοῦ κυριακοῦ σταυροῦ : ἐπειδήπερ ἐν αὐτῷ τούτους * ἀποδυσάμενος, παρεδειγμάτισεν ὁ σωτήρ. ἐὰν δὲ καὶ ἀναιδέστερον στήκωσιν, ἐξορχούμενοι καὶ ποικιλλόμενοι ταῖς φαντασίαις : μὴ δειλιάσητε, μηδὲ πτήξητε, μηδὲ ὡς καλοῖς αὐτοῖς προσέχητε· καὶ γὰρ τὴν τῶν ἀγαθῶν καὶ τῶν φαύλων παρουσίαν εὐχερὲς καὶ δυνατόν ἐστι διαγνῶναι, τοῦ θεοῦ διδόντος οὕτως. ἡ μὲν γὰρ τῶν ἁγίων ὀπτασία οὐκ ἔστι τεταραγμένη. οὐκ ἐρίσει γάρ, οὔτε κραυγάσει, οὐδὲ ἀκούσει τις τῆς φωνῆς αὐτῶν. ἡσύχως δὲ καὶ πρᾴως γίνεται οὕτως, ὡς εὐθὺς χαρὰν καὶ ἀγαλλίασιν καὶ θάρσος ἐγγίνεσθαι τῇ ψυχῇ· ἔστι γὰρ μετ' αὐτῶν ὁ κύριος : ὅς ἐστιν ἡμῶν μὲν χαρά, τοῦ δὲ θεοῦ πατρὸς δύναμις· οἵ τε λογισμοὶ αὐτῆς, ἀτάραχοι καὶ ἀκύμαντοι διαμένουσιν: ὥστε καταυγαζομένην αὐτὴν ὑπ' αὐτῆς τοὺς φαινομένους θεωρεῖν. καὶ γὰρ πόθος τῶν θείων καὶ τῶν μελλόντων αὐτῇ ἐπεισέρχεται, καὶ θελήσει πάντως συναφθῆναι τούτοις, εἰ ἀπήρχετο μετ' αὐτῶν. ἐὰν δὲ καί, ὡς ἄνθρωποι τινὲς φοβηθῶσι τὴν τῶν καλῶν ὀπτασίαν, ἀφαιροῦσιν οἱ φαινόμενοι τὸν φόβον, παρ' αὐτὰ τῇ ἀγάπῃ. ὡς ἐποίησε γαβριὴλ τῷ ζαχαρίᾳ· καὶ ὁ φανεὶς ἄγγελος ἐν τῷ θείῳ μνημείῳ ταῖς γυναιξί· καὶ τοῖς ποιμέσι λέγων ἐν τῷ εὐαγγελίῳ, μὴ φοβεῖσθε.

* ἀπεκδυσάμενος ἐδειγμάτισε. lib. edit.

Quòd si omnino præscientiæ cura nobis est aliqua: mente simus pura. Persuasissimum enim habeo, animum à perturbationum sordibus vacuum, & naturâ constantem, dono perspicacitatis imbutum, longè plura, & remotiora quàm dæmones, prospicere posse, Domino ipsi revelante. Qualis fuit Elisæi animus; qui & 4. Reg. 5. 26. 6. 17.
*puerum Giezi vidit, & exercitũ [angelorũ] sibi adstantẽ conspicatus est. Cum itaq; nocte adventant, futura nunciaturi; aut pro angelis se se venditant: ne audiatis, mentiuntur enim. Sin vitam laudant asceticam, vosq; beatos pronunciant: neq; præbeatis aures, neq; omnino illis subijciamini: sed ipsi potius vos & domum vestram figurâ crucis munite, & precationi vacate; tum eos evanescere videbitis. Timidi enim sunt, crucisq; Domini signũ admodùm reformidant: quũ Seruator illos in cruce expoliarit & *palàm traduxerit. Qui si impudentiùs restiterint, exultantes, & alia atq; alia forma vobis apparentes: ne expavescatis, neq; terreamini, neq; ipsis tanquam bonis animum attendite. Internoscere enim bonorum & malorum præsentiam, divinâ ope, facilè possumus. Sanctorum siquidem [angelorum] apparitio nihil perturbati habet; Nõ enim contendet, neq; clamabit, neq; audiet aliquis in plateis vocem eorum: sed ita fit placidè, ita leniter; ut animo gaudium illicò, exultationem & fiduciam adferat. Cum ipsis nanq; est Dominus; qui nostrum est gaudium, Dei patris potentia. Suntq; tum animi cogitata nulli perturbationi obnoxia, minimeq; fluctuant; ut illuminatus ille eos qui apparent contempletur; & desiderio rerum divinarum & futurarum, his prorsus adjungi & abituris comes esse concupiscat. Ac ut nonnulli, homines quippe, visis angelis bonis paveant: hi metum illis dilectione extemplò adimunt. Id quod Gabriel fecit Zachariæ, & in sacro monumento visus angelus mulieribus, quiq; pastoribus dixit in Evangelio, Nolite time-*

Coloss. 2. 15. *ostentui habuerit.
Matth. 12. 19.
1. Cor. 1. 24.
Lucæ 1, 13.
Matth. 28, 5.
Lucæ 2, 10.

re. Metus enim illorũ non ab animi panore, sed ob præstantioris natura præsentiã oritur. Apparitio igitur bonorum angelorumq̃ hujus est modi. At malorũ incursus et visio, confusionis plena, cũ strepitu, sonitu, & vociferatione: cujusmodi est adolescentũ rudiorum & latronũ tumultus. Vnde animi timiditas, turbatio & confusio cogitationũ, vultus demissio & tristicia, odium in Ascetas, acedia, animi ægritudo, propinqvorum recordatio, mortis metus &, de reliqvo, vitij cupiditas, virtutis contemptus, morum inconstantia. Visione itaq̃ territi, si timor mox facessat, & subseqvatur gaudiũ incredibile, animi tranqvillitas, fiducia, virium recreatio, mens pacata, & qvæ dixi priùs alia, fortitudo, amor erga Deum: bono animo estote atq̃ oratote. Lætitia e-
Joan. 8, 56. *nim, atq̃ ille animi status, de præsentis sanctitate testantur. Sic*
Lucæ 1, 41. *Abraam, viso Domino, exultavit: & Ioãnes, edita voce à Maria deipara, lætus exultauit. Qvòd si quibusdam visis, existãt turbæ, & strepitus externus, & phantasia mundana, minæ mortis, & qvæ antea cunq̃ dixi: impetũ malorũ hostilẽ esse scitote.*
Lucæ 1, 30. 13. *rẽq̃ ita se habere, argumento sit metus qvorundã in animis per-*
Matth. 28. 5. *manens, neq̃ enim illo dæmones liberant (ut archangelus ille magnus Gabriel timore liberavit Mariam & Zachariam, & mulieres angelus, qvi in Christi sepulchro ipsis apparuit) sed qvum metuere vident, phantasias augent, qvo majorem ipsis terrorẽ injiciant, & adorti derideant posteà, dicantq̃, prostrati adoratote. Qvo pacto gentes in fraudẽ impulerunt, ab ijs falsò pro Dijs habiti. Nos autem à diabolo circumveniri non est*
Lucæ 4, 8. *passus Dominus, qvum similia sibi intentantem increpat his verbis; Vade retro me, Satana; Scriptum est enim, Dominum Deum tuum adorabis, & illi soli servies. Qvare versipellis iste magis magisq̃ contẽnatur ac pro nihilo habeatur. Qvod enim dixit Dominus, nostrùm in commodum protulit: ut dæmones auditis è nobis ejuscemodi verbis, exturbentur propter Dominum, qui*

βοηθεῖ. ἔστι γὰρ ὁ φόβος ἐκείνων, οὐ κατὰ δειλίαν ψυχῆς· ἀλλὰ κατ' ἐπίγνωσιν τῆς τῶν κρειττόνων παρουσίας. τοιαύτη μὲν οὖν ἡ τῶν ἁγίων ὀπτασία. ἡ δὲ τῶν φαύλων ἐπιδρομὴ καὶ φαντασία τεταραγμένη, μετὰ κτύπου καὶ ἤχου καὶ κραυγῆς· οἷα ἂν γένοιτο νεωτέρων ἀπαιδεύτων καὶ λῃστῶν κίνησις. ἐξ ὧν γίνεται δειλία ψυχῆς, τάραχος καὶ ἀταξία λογισμῶν, κατήφεια, μῖσος πρὸς τοὺς ἀσκητάς, ἀκηδία, λύπη, μνήμη τῶν οἰκείων, καὶ φόβος θανάτου· καὶ λοιπὸν, ἐπιθυμία κακῶν, ὀλιγωρία πρὸς τὴν ἀρετὴν, καὶ τοῦ ἤθους ἀκαταστασία. ὅταν τοίνυν θεωρήσαντές τινες φοβηθῆτε, ἐὰν μὲν εὐθὺς ὁ φόβος ἀφαιρεθῇ, καὶ ἀντ' ἐκείνου γένηται χαρὰ ἀνεκλάλητος, καὶ εὐθυμία, καὶ θάρσος, καὶ ἀνάκτησις, καὶ τῶν λογισμῶν ἀταραξία, καὶ τὰ ἄλλα ὅσα προεῖπον, ἀνδρία τε καὶ ἀγάπη εἰς τὸν Θεόν· θαρσεῖτε καὶ εὔχεσθε· ἡ γὰρ χαρὰ καὶ ἡ κατάστασις τῆς ψυχῆς, δείκνυσι τοῦ παρόντος τὴν ἁγιότητα. οὕτως ἀβραὰμ ἰδὼν τὸν κύριον ἠγαλλιάσατο: καὶ Ἰωάννης, γενομένης φωνῆς παρὰ τῆς θεοτόκου μαρίας, ἐσκίρτησεν ἐν ἀγαλλιάσει. ἐὰν δὲ φανέντων τινῶν ταραχὴ γένηται, καὶ κτύπος ἔξωθεν, καὶ φαντασία κοσμικὴ, καὶ ἀπειλὴ θανάτου, καὶ ὅσα προεῖπον: γινώσκετε ὅτι φαύλων ἐστὶν ἡ ἔφοδος. καὶ γὰρ καὶ τοῦτο γνώρισμα ὑμῖν ἔστω, ὅτ' ἂν τινῶν ἐπιμένῃ δειλιῶσα ἡ ψυχή, παρουσία τῶν ἐχθρῶν ἐστιν. οὐ γὰρ ἀφαιροῦνται τὴν δειλίαν τῶν τοιούτων οἱ δαίμονες· ὥσπερ πεποίηκεν ὁ μέγας ἀρχάγγελος γαβριὴλ τῇ μαρίᾳ καὶ τῷ ζαχαρίᾳ, καὶ ὁ φανεὶς ἐν τῷ μνημείῳ ταῖς γυναιξίν: ἀλλὰ μᾶλλον ὅτ' ἂν ἴδωσι δειλιῶντας, αὔξουσι τὰς φαντασίας, ἵνα μειζόνως αὐτοὺς καταπλήξωσι· καὶ λοιπὸν ἐπιβάντες, προσπαίζωσι λέγοντες, πεσόντες προσκυνήσατε. τοὺς μὲν οὖν ἕλληνας οὕτως ἠπάτησαν· οὕτω γὰρ ἐνομίσθησαν ψευδώνυμοι θεοί. ἡμᾶς δὲ ὁ κύριος ἀπατηθῆναι παρὰ τοῦ διαβόλου, * ἐπηνίκα τὰς τοιαύτας αὐτῷ ἐδείκνυ φαντασίας, ἐπιτιμῶν εἴρηκεν, ὕπαγε ὀπίσω μου σατανᾶ· γέγραπται γάρ, κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. μᾶλλον οὖν καὶ μᾶλλον ὁ πανοῦργος καταφρονείσθω παρ' ἡμῶν· ὃ γὰρ εἴρηκεν ὁ κύριος, τοῦτο ὑπὲρ ἡμῶν πεποίηκεν: ἵνα καὶ παρ' ἡμῶν ἀκούοντες οἱ δαίμονες τὰς τοιαύτας φωνάς, ἀνα-

* λείπει ἴσ. οὐ συνεχώρησεν.

τρέποντες διὰ τὸν κύριον, τὸν ἐν πᾶσιν αὐτοῖς ἐπιτιμήσαντα· οὐ δεῖ δὲ ἐπὶ τῷ δαίμονας ἐκβάλλειν, καυχᾶσθαι, οὐδ' ἐπὶ ταῖς θεραπείαις ἐπαίρεσθαι· οὐδὲ τὸν ἐκβάλλοντα δαιμόνια θαυμάζειν μόνον, τὸν δὲ μὴ ἐκβάλλοντα ἐξουθενεῖν: ἑκάστου δὲ τὴν ἄσκησιν καταμανθανέτω τις, καὶ ἢ μιμείσθω καὶ ζηλούτω, ἢ διορθούσθω. τὸ γὰρ ποιεῖν σημεῖα, οὐχ ἡμῶν: τοῦ δὲ σωτῆρος ἔργον ἐστί. τοῖς γοῦν μαθηταῖς ἔλεγε: μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται· ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς. τὸ μὲν ἐν οὐρανῷ γεγράφθαι τὰ ὀνόματα, μαρτύριόν ἐστι τῆς ἡμῶν ἀρετῆς καὶ τοῦ βίου: τὸ δὲ ἐκβάλλειν δαίμονας, τοῦ δεδωκότος σωτῆρος ἐστὶν ἡ χάρις αὕτη. ὅθεν τοῖς μὴ ἐν ἀρετῇ, ἀλλ' ἐν σημείοις καυχωμένοις καὶ λέγουσι· κύριε, οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν· καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; ἀπεκρίνατο: ἀμὴν, λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. οὐ γὰρ γινώσκει κύριος τὰς ὁδοὺς τῶν ἀσεβῶν. καθόλου δὲ εὔχεσθαι δεῖ, καθὰ προεῖπον, λαμβάνειν χάρισμα διακρίσεως πνευμάτων: ἵνα, καθὼς γέγραπται, μὴ παντὶ πνεύματι πιστεύωμεν. ἐβουλόμην μὲν οὖν σιωπῆσαι, καὶ μηδὲν * ἐξ ἐμαυτοῦ λέγειν, ἀρκεῖσθαι δὲ μόνοις τούτοις. ἵνα δὲ μὴ νομίσητε ταῦτα λέγειν ἁπλῶς, ἀλλ' ἀπὸ πείρας καὶ ἀληθείας πιστεύσητε ταῦτά με διηγεῖσθαι: διὰ τοῦτο, κἂν ὡς ἄφρων γένωμαι· ἀλλ' οἶδεν ὁ ἀκούων κύριος τὸ τῆς συνειδότος καθαρὸν, καὶ ὅτι οὐ δι' ἐμαυτὸν, τῆς δὲ ὑμῶν ἀγάπης χάριν καὶ προτροπῆς, ἃ εἶδον τῶν δαιμόνων ἐπιτηδεύματα, ταῦτα πάλιν λέγω. ποσάκις ἐμακάρισάν με, κἀγὼ κατηρασάμην αὐτοὺς ἐν ὀνόματι κυρίου: ποσάκις προειρήκασι περὶ τοῦ ποταμίου ὕδατος, κἀγὼ πρὸς αὐτοὺς ἔλεγον, καὶ ὑμῖν τί περὶ τούτου μέλει; ἦλθόν ποτε ἀπειλοῦντες, καὶ ἐκύκλωσάν με ὡς στρατιῶται μετὰ πανοπλίας καὶ ἵππων. καὶ ἄλλοτε θηρίων καὶ ἑρπετῶν ἐπλήρωσαν τὸν οἶκον· κἀγὼ ἔψαλλον: Οὗτοι ἐν ἅρμασι, οὗτοι ἐν ἵπποις: ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν * μεγαλυνθησόμεθα: καὶ ταῖς εὐχαῖς ἀνετράπησαν ἐκεῖνοι.

* ἴσ. περὶ

* ἐπικαλεσόμεθα

*num, qui ijs ipsis illos increpavit. Neque verò ejectione dæmonũ est gloriandum; neque ob curationem quamcunque morborum superbiendum: neque eum qui dæmones expellit, solũ admirari; neque eum, qui idem nequit, aspernari debemus: sed uniuscujusque exercitatione virtutum cognita, eam aut imitemur & æmulemur; aut superare etiã nitamur. Signa enim facere; non nostrum, sed Domini servatoris, opus est. Ideò dixit discipulis; In hoc nolite gaudere, quia spiritus vobis subijciuntur: gaudete autem, quòd nomina vestra scripta sunt in cœlis. Nominũ nanque in cœlis scriptio, virtutis ac vitæ nostræ est testimonium: expulsio autem dæmonum, donum est gratuitum nostri Servatoris. Vnde ijs, qui non in virtute, sed in signis gloriati dixerunt; Domine non'ne in nomine tuo dæmonia ejecimus; & in nomine tuo virtutes multas fecimus? respondit, [Amen dico vobis,] Nunquam novi vos. Non enim novit Dominus vias impiorum. Summa, Orandum, quemadmodum prius à me dictum, pro impetranda gratia discernendi spiritus; Ne (ut scriptũ est) omni vento * credamus. Equidem tacere jam, nec quicquam de me dicere, malim; his contentus solis. At ne simpliciter ista me putetis, sed expertum ac verè narrasse, credatis; propterea (licet fiam quasi insipiens; veruntamen Dominus, qui audit, novit conscientiæ puritatem; meq; non mea causa, sed vestri amoris & cohortationis gratia, quas viderim dæmonum machinas recensere) eadem repeto. Quoties illi beatum me dixere, ego ipsos in nomine Domini sum execratus. quoties alluvionem prædixere: quibus ego; Ecquid hoc ad vos? Venerunt aliquando minitantes, meq; tanquam milites cinxerunt armaturâ & equitatu: aliquando bestijs & serpentibus domicilium replerũt: ibi ego psallebam; Hi in curribus, & hi in equis: nos autem in nomine Domini Dei nostri invocabimus. & precibus illi eversi sunt. Fuit*

Lucæ 10, 20.

Matth. 7. 22.

1. Cor. 12, 10.

* Circumferamini, Eph. 4, 14.

Psal. 19, 8.

sunt. Fuit quum in tenebris venirent, lumen præ se ferentes, ac dicentes; Adsumus, Antoni, lumen tibi prælaturi. Ego verò, clausis oculis orabam; & lumen impiorum illicò fuit extinctum. Paucis pòst mensibus, venerunt quasi psallentes, & è Scriptura
Psal. 37, 14. *loquentes: ego autem tanquam surdus non audiebam. Quodam tempore monasterium quassarunt: ego orabam, ne mens de sede ac statu dimoveretur. Posthac iterum venerunt cum plausu & sibilo, saltabantq; : me verò ad preces devoluto, & psallere mecum captante; flere illi & lamentari, tanquam viribus omnibus amissis; glorificari ego Deum, qui audaciam & insaniam eorum abolitā ostentui haberet. Apparuit aliquando mihi dæmon supra modum excelsus, visione quadā, nec dubitavit Dei se virtutem dicere, & Providentiam, percunctariq;, quid beneficij cuperē in me conferri. Cui ego tū magis insputare, nomine Christi, & infligere plagā conari, Idq; adeò videri fecisse. Nā subitò tantus iste, cum omni dæmonum suorum caterva, ad Christi nomen, abolitus est. Cum jejunarem, ad me quoq; impostor ille aliquando venit, habitu monachi; oblataq; panis forma, Autor sum, inquit, ut edas, tamq; graviter laborare desinas: homo & tu es, viresq; tuæ frangentur & elanguescent. Verùm ego, agnita ejus techna & ludificatione, surrexi oraturus. Quod ille non ferre; concidit enim: proin januā egredi, ac fumi instar evanescere. Quoties in eremo auri speciem objecit; ut tantùm contrectarē, videremq;: contrà ego psallere, ille cōtabescere. Non*
Rom. 8, 35. *raro plagas mihi inflixerunt: quibus ego, Nihil me separabit à charitate Christi. Ibi illi se se invicē magis tūdere. Neq; verò ego istos domui, & è medio sustuli; sed Dominus, qui dixit; Videbā*
Lucæ. 10, 18. *Satanam, sicut fulgur, de cælo cadentem. Hæc filioli, memor dicti apostolici, ad me transtuli: ut disceretis, in ascetica non pigrescendum, neq; diaboli & dæmonum ejus phantasmata esse pertimescenda.*

ἐκεῖνοι. ἦλθόν ποτε ἐν σκοτίᾳ φωτὸς ἔχοντες φαντασίαν, καὶ ἔλεγον: ἤλθομεν φᾶναί σοι ἀντώνιε. ἐγὼ δὲ καμμύων τοὺς ὀφθαλμούς, ηὐχόμην. καὶ εὐθὺς ἐσβέσθη τὸ φῶς ἀσεβῶν. καὶ μετὰ μῆνας ὀλίγους, ἦλθον ὡς ψάλλοντες, καὶ λαλοῦντες ἀπὸ τῶν γραφῶν: ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον. ἔσεισάν ποτε τὸ μοναστήριον, ἐγὼ δὲ ηὐχόμην ἀκίνητος μένων τῷ φρονήματι. καὶ μετὰ ταῦτα πάλιν ἐλθόντες, ἐκρότουν, ἐσύριττον, ὠρχοῦντο: ὡς δὲ ηὐχόμην, καὶ ἀνεκείμην ψάλλων κατ' ἐμαυτόν· εὐθὺς ἤρξαντο θρηνεῖν καὶ κλαίειν, ὥσπερ ἐξατονήσαντες. ἐγὼ δὲ ἐδόξαζον τὸν θεόν, τὸν καθελόντα καὶ παραδειγματίσαντα τὴν τόλμαν καὶ τὴν μανίαν αὐτῶν. ἐφάνη δέ ποτε δαίμων ὑψηλὸς λίαν μετὰ φαντασίας, καὶ τετόλμηκεν εἰπεῖν: ἐγώ εἰμι ἡ δύναμις τοῦ θεοῦ· καί, ἐγώ εἰμι ἡ πρόνοια· τί σοι θέλεις, χαρίσομαι. ἐγὼ δὲ τότε μᾶλλον * ἐνεφύσησα κατ' αὐτοῦ, τὸν χριστὸν ὀνομάσας, καὶ τυπτῆσαι τοῦτον ἐπιχείρησα· καὶ ἔδοξα τετυφέναι. καὶ εὐθὺς ὁ τηλικοῦτος σὺν πᾶσι τοῖς ἑαυτοῦ δαίμοσι, ἠφανίσθη τῷ ὀνόματι χριστοῦ. ἦλθε δέ ποτε, νηστεύοντός μου, καὶ ὡς μοναχός, ὁ δόλιος, ἔχων ἄρτων φαντασίαν· καὶ συνεβούλευε, λέγων: φάγε, καὶ παῦσαι τῶν πολλῶν πόνων. ἄνθρωπος εἶ καὶ σύ, καὶ μέλλεις ἀσθενεῖν. ἐγὼ δὲ νοήσας αὐτοῦ τὴν μέθοδον, ἀνέστην εὔξασθαι: κἀκεῖνος οὐκ ἤνεγκεν, ἐξέλιπε γάρ· καὶ διὰ τῆς θύρας, ὡς καπνὸς ἐξερχόμενος ἐφάνη. ποσάκις ἐν τῷ ἐρήμῳ φαντασίαν ἔδειξε χρυσοῦ, ἵνα μόνον ἅψωμαι, καὶ βλέψω· ἐγὼ δὲ κατέψαλλον αὐτοῦ, κἀκεῖνος ἐτήκετο. πολλάκις ἔκοπτόν με πληγαῖς, κἀγὼ ἔλεγον: οὐδέν με χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ χριστοῦ· καὶ μᾶλλον αὐτοὶ μετὰ ταῦτα κατέκοπτον ἀλλήλους. οὐκ ἐγὼ δὲ ἤμην ὁ παύων ἐκείνους καὶ καταργῶν: ἀλλ' ὁ κύριος ἦν, ὁ λέγων, ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν πεσόντα. ἐγὼ δέ, τέκνα, μνημονεύων τοῦ ἀποστολικοῦ ῥητοῦ, μετεσχημάτισα ταῦτα εἰς ἐμαυτόν, ἵνα μάθητε μὴ ἐκκακεῖν ἐν τῇ ἀσκήσει, μηδὲ φοβεῖσθαι τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ τὰς φαντασίας. καὶ ἐπειδὴ γέγονα

*Interpr. vet. ἐνέπτυσα

ἄφρων διηγούμενος, δέξασθε καὶ τοῦτο ἀσφάλειαν καὶ ἀφοβίαν· καὶ πιστεύσατέ μοι, οὐ ψεύδομαι γάρ. ἔκρουσέ ποτέ τις ἐν τῷ μοναστηρίῳ τὴν ἐμὴν θύραν· καὶ ἐξελθὼν, εἶδόν τινα μακρὸν καὶ ὑψηλὸν φαινόμενον. εἶτα πυθομένου μου, σὺ τίς εἶ; ἐγώ εἰμι, φησὶν, ὁ σατανᾶς. εἶτα λέγοντός μου, τί οὖν ἐνταῦθεν πάρει; ἔλεγεν ἐκεῖνος, τί μέμφονταί με μάτην οἱ μοναχοὶ, καὶ οἱ ἄλλοι πάντες χριστιανοί; τί μοι καταρῶνται καθ' ὥραν; ἐμοῦ δὲ εἰπόντος, τί γὰρ αὐτοῖς ἐνοχλεῖς; ἔφη· οὐκ εἰμὶ ἐγὼ ὁ ἐνοχλῶν αὐτοῖς, ἀλλ' αὐτοὶ ταράττουσιν ἑαυτούς. ἐγὼ γὰρ ἀσθενὴς γέγονα. οὐκ ἀνέγνωσαν, ὅτι τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες; οὐκ ἔτι τόπον ἔχω, οὐ βέλος, οὐ πόλιν. πανταχοῦ χριστιανοὶ γεγόνασι· λοιπὸν καὶ ἡ ἔρημος πεπλήρωται μοναχῶν: ἑαυτοὺς τηρείτωσαν, καὶ μὴ μάτην με καταράσθωσαν. τότε θαυμάσας ἐγὼ τοῦ κυρίου τὴν χάριν, εἶπον πρὸς αὐτόν: ἀεὶ ψεύστης ὢν, καὶ μηδέποτε λέγων ἀλήθειαν, ὅμως τοῦτο νῦν καὶ μὴ θέλων εἴρηκας ἀληθές. ὁ γὰρ χριστὸς ἐλθὼν, ἀσθενῆ σε πεποίηκε καὶ καταβαλὼν ἐγύμνωσεν. ἐκεῖνος ἀκούσας τὸ τοῦ σωτῆρος ὄνομα, καὶ μὴ φέρων τὴν ἐκ τούτου καῦσιν, ἀφανὴς γέγονεν. εἰ τοίνυν καὶ αὐτὸς ὁ διάβολος ὁμολογεῖ μηδὲν δύνασθαι: ὀφείλομεν παντελῶς καταφρονεῖν αὐτοῦ τε καὶ τῶν δαιμόνων αὐτοῦ. ὁ μὲν οὖν ἐχθρὸς μετὰ τῶν ἑαυτοῦ κυνῶν, τοσαύτας ἔχει τὰς πανουργίας. ἡμεῖς δὲ μαθόντες αὐτῶν τὴν ἀσθένειαν, καταφρονεῖν αὐτῶν δυνάμεθα τούτῳ τῷ τρόπῳ. μὴ καταπίπτωμεν τῇ διανοίᾳ, μηδὲ λογιζώμεθα ἐν τῇ ψυχῇ δειλίας, μηδὲ ἀναπλάττωμεν ἑαυτοῖς φόβους, λέγοντες· μὴ ἄρα δαίμων ἐλθὼν ἀνατρέψῃ με· μὴ ἄρα βαστάσας καταβάλῃ, ἢ ἐξαίφνης ἐπιστὰς ἐκταράξῃ. μηδ' ὅλως ἐνθυμώμεθα ταῦτα, μηδὲ λυπώμεθα ὡς ἀπολλύμενοι. θαρρῶμεν δὲ μᾶλλον καὶ χαίρωμεν ὡς σωζόμενοι ἀεὶ, καὶ λογιζώμεθα τῇ ψυχῇ, ὅτι κύριος μεθ' ἡμῶν ἐστὶν, ὁ τροπωσάμενος καὶ καταργήσας αὐτούς. καὶ διανοώμεθα ἀεὶ: ὅτι ὄντος τοῦ κυρίου μεθ' ἡμῶν, οὐδὲν ἡμῖν οἱ ἐχθροὶ ποιήσουσιν. ἐλθόντες γὰρ,

pertimescenda. Et, quia narrando factus sum insipiens; hoc etiam accipite documentũ, qvo tuti & securi poteritis esse; mihiq; (neq; enim mentior) fidem habete. Quodam tempore ostium in monasterio meum aliquis pulsauit: tum egressus, vidi procerum quendam, altæ statura. Qui sit, rogo. Satanam se ait esse. Iterũ interrogãti, quid ergò ipsi esset hic negotij? Cur me falsò, inquit, accusant monachi, atq; omnes alij Christiani? cur horis singulis execrãtur? Cui ego, cur vos ijs ipsis estis molesti? Negare hoc ille, ac dicere, homines sibi ipsos molestiam exhibere; se viribus destitui. An non legerint, Inimici defecerunt framea in finem, & civitates [eorum] destruxisti. Psal. 9, 7. *Nõ mihi jam est locus, non telum, non civitas. Vbiq; sunt Christiani: deserta insuper monachis referta: observent ipsi se se, nec mihi immeritò dira imprecentur. Illi, admiratus ego tunc Domini gratiam, dixi; Quanquam semper es mendax, neq; unquam veritatem loqveris; tamẽ hoc invitus verè memorasti. Christus enim suo adventu infirmum te reddidit, & dejectum nudavit. Audito idem Servatoris nomine, qvòd ardorem inde non posset ferre, disparuit. Si ergo ipse diabolus qvicquam se posse negat, omni jure tã ipsum quam dæmones ejus nihili facimus. Tam varia itaq; sunt astutiæ hostis & canum ejus. Qvorum nos imbecillitate cognita, spernere istos hac ratione possumus. Ne animo concidamus, neq; mente formidinem comprehendamus, nec metum ipsi nobis fingamus, dicendo; Ne fortè dæmon veniat eversum me; ne sublatum prosternat, aut subitò ex insidijs adoriens territet. Talia prorsus ne cogitemus; neq; contristemur, tanquam perituri. Qvin fiduciâ præditi lætemur magis, ut servati semper; atq; Dominũ esse nobiscum, reputemus, qvi dæmones fugarit, & omne ipsorum robur aboleverit. Sintq; hæc nostra perpetuò cogitata, præsente nobis Domino, nihil hostes adversum nos posse. Accessuri enim,*

qvales nos invenerint, tales se erga nos gerent; nostriq́ animi cogitationibus suas ipsi phantasias accommodabunt. Reperturi itaq; nos meticulosos & perturbatos; derepentè, veluti latrones locum, ubi nihil est præsidij, inventum, invadent; quæq; nobis spontè fuerint agitationes mentis, eas novarum adjectioue augebunt. Visuri enim nos timere ac formidare: majorem incutient metum qvibusdam objectis & comminatione, atq; sic anima misera suppliciũ ipsa de se se sumit. Qvòd si nos in Domino lætos deprehenderint, ac bonorum futurorum,, atq; eorum qvæ sunt Domini, medidatione in hos sermones incidere; Omnia esse in manu Dei, nec qvicquam esse dæmoni virium contra Christianum, neque ullam prorsus in qvenquam potestatem: intuentes in animum ejuscemodi cogitationibus munitum, pudore suffusi. eum aversantur. Sic hostis ille Iobum conspicatus præsidijs id genus septum, ab illo recessit: Iudam verò armis nudatũ, captivum abduxit. Quocircà hostem contempturi, de ijs qvæ sunt Domini perpetuò cogitemus, sitq́ animus spe latus: tũ dæmonum ludibria & ludicra nobis erunt instar fumi; & fugientium illi potiùs, qvàm persequentium, similes. Sunt enim, qvod anteà dixi, per qvàm timidi; expectatione ignis sibi parati. Hæcq́ securitatis adversus ipsos nota sit tibi certissima; Cum visio qvæpiã ante oculos obversabitur: ne præ formidine priùs concide; sed qvæcunque ea sit, cõfidenter primùm qvære, Qvis 'nam tu es, atque unde? Si enim Sanctorum fuerit apparitio: abundè certiorem te facient, metu in gaudium converso. Sin diabolica ista fuerit: prorsus debilitabitur & frangetur, conspecto mentis robore. Argumentum nanque ipsis omnino est animi imperturbati, percunctatio isthæc, Qvi es, atque unde? Sic & filius Nave, qvum sciscitaretur, didicit: neque hostis, Daniele percunctane, latuit. Hac Antonij dissertatione omnes delectabantur, ac

Iosue 5, 13.

bantur, ac

ἠπίους αὖ εὕρωσιν ἡμᾶς, τοιοῦτοι καὶ αὐτοὶ γίνονται πρὸς ἡμᾶς. καὶ πρὸς ἃς εὑρίσκουσιν ἐν ἡμῖν ἐννοίας, οὕτω καὶ αὐτοὶ τὰς φαντασίας ἀφομοιοῦσιν. ἐὰν μὲν οὖν δειλιῶντας εὕρωσιν καὶ ταραττομένους, εὐθὺς αὐτοὶ ὡς λῃσταὶ τὸν τόπον ἀφύλακτον εὑρόντες, ἐπιβαίνουσι· καὶ ὅπερ ἀφ' ἑαυτῶν λογιζόμεθα, τοῦτο μετὰ προσθήκης ποιοῦσιν. ἐὰν γὰρ βλέπωσιν ἡμᾶς φοβουμένους καὶ δειλιῶντας, μειζόνως αὐξάνουσι τὴν δειλίαν ἐν ταῖς φαντασίαις καὶ ταῖς ἀπειλαῖς, καὶ λοιπὸν ἐν τούτοις κολάζεται ἡ ταλαίπωρος ψυχή. ἐὰν δὲ χαίροντας ἡμᾶς εὕρωσιν ἐν κυρίῳ, καὶ λογιζομένους τὰ τοῦ κυρίου, καὶ διαλογιζομένους: ὅτι πάντα ἐν χειρὶ κυρίου ἐστί, καὶ οὐδὲν ἰσχύει δαίμων κατὰ χριστιανοῦ, οὐδὲ ὅλως ἐξουσίαν ἔχουσι κατά τινος: βλέποντες ἠσφαλισμένην τὴν ψυχὴν τοῖς τοιούτοις λογισμοῖς, ἀποστρέφονται κατῃσχυμμένοι. οὕτω τὸν μὲν Ἰὼβ ἰδὼν ὁ ἐχθρὸς περιπεφραγμένον, ἀνεχώρησεν ἀπ' αὐτοῦ. τὸν δὲ Ἰούδαν γυμνὸν εὑρὼν ἀπὸ τούτων, ᾐχμαλώτισεν. ὥστε εἰ θέλομεν καταφρονεῖν τοῦ ἐχθροῦ, λογιζώμεθα ἀεὶ τὰ τοῦ κυρίου, καὶ χαιρέτω ἀεὶ ἡ ψυχὴ τῇ ἐλπίδι: καὶ ὀψόμεθα ὡς καπνὸν τὰ τῶν δαιμόνων παίγνια, καὶ μᾶλλον φεύγοντας αὐτοὺς, ἢ διώκοντας. εἰσὶ γὰρ λίαν αὐτοὶ (καθὰ προεῖπον) δειλοί, προσδοκῶντες ἀεὶ τὸ ἡτοιμασμένον αὐτοῖς πῦρ. καὶ τοῦτο δὲ πρὸς ἀφοβίαν κατ' ἐκείνων ἔχετε παρ' ἑαυτοῖς τὸ τεκμήριον: ὅτ' ἄν τις φαντασία γίνηται μὴ προκατάπιπτε ἐν δειλίᾳ, ἀλλ' ἠπία ἐὰν ᾖ, θαρρῶν ἐρώτα πρῶτον, τίς εἶ σύ, καὶ πόθεν; καὶ ἐὰν μὲν ᾖ ἁγίων ὀπτασία, πληροφοροῦσί σε, καὶ τὸν φόβον σου εἰς χαρὰν μεταβάλλουσιν: ἐὰν δὲ διαβολική τις ᾖ, εὐθὺς ἐξασθενεῖ, βλέπουσα ἐρρωμένην τὴν διάνοιαν. ἀταραξίας γὰρ τεκμήριον τὸ ὅλως πυνθάνεσθαι, τίς εἶ, καὶ πόθεν; οὕτως ὁ μὲν τοῦ Ναυῆ ἐρωτήσας, ἔμαθεν: ὁ δὲ ἐχθρὸς, οὐκ ἔλαθεν ἐρωτήσαντα τὸν Δανιήλ. ταῦτα διαλεγομένου τοῦ Ἀντωνίου, πάντες ἔχαιρον. καὶ * τὸν μὲν ὁ ἔρως

* τῶν μὲν

τῆς ἀρετῆς ηὔξανε, τῶν δὲ ἡ ὀλιγωρία παρεκαλεῖτο, καὶ ἄλλων ἡ οἴησις ἐπαύετο. πάντες τε ἐπείθοντο καταφρονεῖν τῆς δαιμονικῆς ἐπιβουλῆς, θαυμάζοντες τὴν δοθεῖσαν παρὰ τοῦ κυρίου χάριν Ἀντωνίῳ, εἰς τὴν διάκρισιν τῶν πνευμάτων. ἦν οὖν ἐν τοῖς ὄρεσι τὰ μοναστήρια ὡς σκηναὶ πεπληρωμέναι θείων χορῶν, ψαλλόντων, φιλολογούντων, νηστευόντων, εὐχομένων, ἀγαλλιωμένων ἐπὶ τῇ τῶν μελλόντων ἐλπίδι, καὶ ἐργαζομένων εἰς τὸ ποιεῖν ἐλεημοσύνας· ἀγάπην τε καὶ συμφωνίαν ἐχόντων εἰς ἀλλήλους. καὶ ἦν ἀληθῶς ἰδεῖν ὥσπερ χώραν τινὰ καθ᾽ ἑαυτὴν οὖσαν, θεοσεβείας καὶ δικαιοσύνης. οὐκ ἦν γὰρ ἐκεῖ ὁ ἀδικῶν, ἢ ὁ ἀδικούμενος· οὐδὲ μέμψις φορολόγου: ἀλλὰ πλῆθος μὲν ἀσκητῶν, ἓν δὲ τὸ πάντων εἰς ἀρετὴν τὸ φρόνημα. ὥστε ἰδόντα τινὰ πάλιν τὰ μοναστήρια καὶ τὴν τοιαύτην τῶν μοναχῶν τάξιν, ἀναφωνῆσαι καὶ εἰπεῖν: ὡς καλοί * σοι οἱ οἶκοι Ἰακώβ, αἱ σκηναί σου Ἰσραήλ! ὡσεὶ νάπαι σκιάζουσαι, καὶ ὡσεὶ * παράδεισος ἐπὶ ποταμόν: καὶ ὡσεὶ σκηναὶ ἃς ἔπηξεν ὁ κύριος, καὶ ὡσεὶ κέδροι παρ᾽ ὕδασιν. αὐτὸς μὲν τοι συνήθως καθ᾽ ἑαυτὸν ἀναχωρῶν ἐν τῷ ἑαυτοῦ μοναστηρίῳ, ἐπέτεινε τὴν ἄσκησιν. καθ᾽ ἡμέραν τε ἐστέναζεν, ἐνθυμούμενος τὰς ἐν οὐρανῷ μονάς· τόν τε πόθον ἔχων εἰς αὐτάς, καὶ σκοπῶν τὸν ἐφήμερον τῶν ἀνθρώπων βίον. καὶ γὰρ μέλλων ἐσθίειν καὶ κοιμᾶσθαι, καὶ ἐπὶ τὰς ἄλλας ἀνάγκας τοῦ σώματος ἔρχεσθαι: ᾐσχύνετο, τὸ τῆς ψυχῆς νοερὸν λογιζόμενος. πολλάκις γοῦν μετὰ πολλῶν ἄλλων μοναχῶν μέλλων ἐσθίειν: ἀναμνησθεὶς τῆς πνευματικῆς τροφῆς, παρῃτήσατο, καὶ μακρὰν ἀπ᾽ αὐτῶν ἀπῆλθε. νομίζων ἐρυθριᾶν, εἰ βλέποιτο παρ᾽ * ἑτέρων ἐσθίων. ἤσθιε μὲν τοι καθ᾽ ἑαυτόν, διὰ τὴν τοῦ σώματος ἀνάγκην: πολλάκις δὲ καὶ μετὰ τῶν ἀδελφῶν· αἰδούμενος μὲν ἐπὶ τούτοις, παρρησιαζόμενος δὲ ἐπὶ τοῖς ὑπὲρ ὠφελείας λόγοις, καὶ ἔλεγεν: χρῆναι τὴν πᾶσαν σχολὴν διδόναι τῇ ψυχῇ μᾶλλον, ἢ τῷ σώματι, καὶ συγχωρεῖν

μὲν διὰ

* οἱ οἶκοί σου lib. edit.
* παράδεισοι ἐπὶ ποταμῶν. al. ποταμῶν
* ἑτέρων

tur. ac in alijs qvidem virtutis amor augebatur, in alijs negligentia remittebat, in alijs vana de se opinio cessabat. eratq; omnibus persuasum, insidias diabolicas susq; deq; ferendas esse, gratiam admirantibus, qvæ Antonio divinitus ad spiritus dijudicandos obtigisset. Monasteria ergò in montibus tanquam tabernacula fuerunt, divinis choris plena, psallentium, differentium, jejunantium, orantium, futurorum [bonorum] spe exultantium, laboribus perfungentium pro eroganda eleemosyna; mutuo sese amore prosequentium, & concordissimè viventium. Vt verè licuerit regionem veluti quandam pietatis divinæ atq; justiciæ singularem oculis cernere. Neq; enim erat illic, qvi injuriâ vel afficeret vel afficeretur; neq; clamor exactoris: sed ascetarum multitudo, qvorum omnium unum idemq; virtutis studium. Vt visis iterum monasterijs & laudabili monachorum politia, jure qvis exclamet; Quàm pulchra tabernacula tua Iacob, & tentoria tua Israël! ut valles nemorosæ, ut horti juxta fluvios irrigui; ut tabernacula quæ fixit Dominus; qvasi cedri prope aqvas. Cæterùm Antonius pro more anachoretam in suo agens monasterio, ascetica majore operâ se dediderat; cogitansq; de mansionibus in cælo; ob earum & desiderium & vitæ humanæ fragilitatem, in dies singulos ingemuerat. Cibum capere aut somnum, aliâ ve corporis necessitate astringi, pudori sibi duxit; consideratâ nobiliore animi parte. Crebrò igitur, cũ alijs monachis multis esurus, spiritualis nutrimenti recordatus, sese abstinuit, & longiùs ab ijs recessit: ruborem interpretatus, si apud alios cibo vesci cerneretur. Edebat porrò solus, corpore id flagitante; non semel etiam cum fratribus: ob hoc qvidem verecundans, libertate autem sermonis, ut commodaret, usus. Qvicqvid, ajebat, daretur otij, illud in animi potiùs quàm corporis curam esse consumendum, & parum qvidem temporis corpori, ob ne-

Iob. 39, 10.

Num. 24, 5. 6.

ob necessitatem concedi: totum autem animi potius commodis tribuendum; ne is corporis voluptatibus deorsum trahatur, sed
Lucæ 12, 22 *hoc ab ipso in servitutem redigatur. Qvod Servator noster in-*
29. *nuerit, cum diceret; Nolite soliciti esse animæ vestræ, qvid mã-*
30.
31. *ducetis; neque corpori, quid induamini. & vos nolite qværere,*
Matth. 6, 22 *qvid manducetis aut quid bibatis; & nolite in sublime tolli. hæc enim omnia gentes mundi quærunt: Pater autẽ vester scit, quia his omnibus indigetis. Veruntamẽ quærite [primùm] regnũ ejus, & hæc omnia adjicientur vobis. Posthac, persecutio illa, qvæ Maximinum autorem habebat, Ecclesiam invasit. Sanctos itaque martyres in Alexandriam ductos, relicto monasterio, & ipse comitabatur, cum diceret; Abeamus & nos; ut vocati vel in certamẽ descendamus, vel alios decertare videamus, ac martyrij qvidem desiderio flagravit: ipse autem se nolens tradere, Confessoribus tam in metallis quàm in carceribus inservivit. Maxima qvoque ipsi curæ fuit, in judicio ad certamina vocatos exhortari & alacriores reddere; martyriumq́; passuros excipere, deducere ac prosequi; donec* consummati suo sangvine, Deo consecrarentur. Iudex itaque, viso tam illius quàm eorum qui unà aderant animo intrepido, & ad toleranda qvævis parato: interdixit, ne qvis monachorum in judicio conspectus fieret, neque in urbe ullus ijs commorandi locus esset. Alijs ergò omnibus placuit die illo abscondi: at Antonium adeò nõ movit interdictum, ut vestem scapularem magis etiam laverit; & sequenti die in loco edito anterior steterit, nec judicis aspectum effugerit. Qvod admirabantur omnes; ipse qvoque dux præfectusq́; cum suo satellitio, in transitu videbat: verùm ille absq́; omni tremore stabat, ut Christianorum alacritatem animi ostenderet. Martyr enim (ut jam est dictum) & is fieri exoptabat: cujus voti nõ factus compos, maximo in dolore fuit. Verùm Domi-*

*tanqnam victima D. c.

nus in

μὲν διὰ τὴν ἀνάγκην ὀλίγον καιρὸν τῷ σώματι· τὸ δὲ ὅλον σχολάζειν τῇ ψυχῇ μᾶλλον, καὶ τὴν ταύτης ὠφέλειαν ζητεῖν· ἵνα μὴ αὕτη καθέλκηται ὑπὸ τῶν ἡδονῶν τοῦ σώματος, ἀλλὰ μᾶλλον τὸ σῶμα παρ' αὐτῆς δουλαγωγῆται. τοῦτο γὰρ εἶναι τὸ λεγόμενον παρὰ τοῦ σωτῆρος· μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν, τί φάγητε, μηδὲ τῷ σώματι τί ἐνδύσησθε. καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε καὶ τί πίητε, καὶ μὴ μετεωρίζεσθε· ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ. ὑμῶν δὲ ὁ πατὴρ οἶδεν, ὅτι χρῄζετε τούτων ἁπάντων. πλὴν ζητεῖτε πρῶτον τὴν βασιλείαν αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. μετὰ ταῦτα κατέλαβε τὴν ἐκκλησίαν ὁ κατὰ Μαξιμῖνον τὸ τηνικαῦτα γενόμενος διωγμός. καὶ τῶν ἁγίων μαρτύρων ἀγομένων εἰς τὴν Ἀλεξάνδρειαν, ἠκολούθησε καὶ αὐτός, ἀφεὶς τὸ μοναστήριον, λέγων· ἀπέλθωμεν καὶ ἡμεῖς· ἵνα ἀγωνισώμεθα κληθέντες, ἢ θεωρήσωμεν τοὺς ἀγωνιζομένους. καὶ πόθον μὲν εἶχε μαρτυρῆσαι· παραδοῦναι δὲ μὴ θέλων ἑαυτόν, ὑπηρέτει τοῖς ὁμολογηταῖς ἔν τε τοῖς μετάλλοις, καὶ ἐν ταῖς φυλακαῖς. πολλή τε ἦν αὐτῷ σπουδὴ ἐν τῷ δικαστηρίῳ, ἀγωνιζομένους μὲν τοὺς καλουμένους, ἐπαλείφειν εἰς προθυμίαν, μαρτυροῦντας δὲ αὐτοὺς ἀπολαμβάνειν καὶ προπέμπειν ἕως τελειωθῶσιν. ὁ γοῦν δικαστὴς βλέπων αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ τὸ ἄφοβον καὶ τὴν εἰς τοῦτο σπουδὴν· παρήγγειλε μηδένα τῶν μοναχῶν ἐν τῷ δικαστηρίῳ φαίνεσθαι, μηδὲ ὅλως ἐν τῇ πόλει διατρίβειν. οἱ μὲν οὖν ἄλλοι πάντες ἔδοξαν κρύπτεσθαι τὴν ἡμέραν ἐκείνην· ὁ δὲ Ἀντώνιος τοσοῦτον ἐφρόντιζεν, ὥστε καὶ μᾶλλον πλῦναι τὸν ἐπενδύτην, καὶ τῇ ἑξῆς ἔμπροσθεν ἐφ' ὑψηλοῦ στῆναι, καὶ φαίνεσθαι τῷ ἡγεμόνι λαμπρόν. πάντων οὖν ἐπὶ τούτῳ θαυμαζόντων, καὶ τοῦ ἡγεμόνος ὁρῶντος, καὶ μετὰ τῆς τάξεως αὐτοῦ διαβαίνοντος· αὐτὸς ἀτρέμας εἱστήκει, δεικνὺς ἡμῶν τῶν χριστιανῶν τὴν προθυμίαν. ηὔχετο γὰρ καὶ αὐτὸς μαρτυρῆσαι, καθὰ προεῖπον. ὁ αὐτὸς μὲν οὖν λυπουμένῳ ἐῴκει, ὅτι μὴ μεμαρτύρηκεν. ὁ δὲ κύριος

γρ. Μαξιμιανόν,

ἣν αὐτὸν φυλάττων, εἰς τὴν ἡμῶν καὶ τῶν ἑτέρων ὠφέλειαν: ἵνα καὶ ἐν τῇ ἀσκήσει, ἣν ἐκ τῶν γραφῶν αὐτὸς μεμάθηκε, πολλοῖς διδάσκαλος γένηται. καὶ γὰρ καὶ μόνον βλέποντες αὐτοῦ τὴν ἀγωγὴν, πολλοὶ, τῆς πολιτείας αὐτοῦ ζηλωταὶ ἐσπούδαζον γίνεσθαι. πάλιν οὖν ὑπηρέτει συνήθως τοῖς ὁμολογηταῖς. καὶ ὡς συνδεδεμένος αὐτοῖς, ἦν κοπιῶν ἐν ταῖς ὑπηρεσίαις. ἐπειδὴ δὲ λοιπὸν ὁ διωγμὸς ἐπαύσατο, καὶ μεμαρτύρηκεν ὁ μακαρίτης ἐπίσκοπος Πέτρος: ἀπεδήμησε, καὶ πάλιν εἰς τὸ μοναστήριον ἀνεχώρει. καὶ ἦν ἐκεῖ καθ' ἡμέραν μαρτυρῶν τῇ συνειδήσει, καὶ ἀγωνιζόμενος τοῖς τῆς πίστεως ἄθλοις. καὶ γὰρ καὶ ἀσκήσει πολλῇ καὶ συντονωτέρᾳ ἐκέχρητο. ἐνήστευε γὰρ ἀεί: τὸ δὲ ἔνδυμα εἶχεν, ἔνδον μὲν, τρίχινον ἔξωθεν δὲ δερμάτινον. ὃ καὶ ἕως τελευτῆς τετήρηκε, μήτε σῶμα διὰ ῥύπον ὕδατι λούσας, μήθ' ὅλως τοὺς πόδας ἀπονίψας, ἢ κἂν ἁπλῶς εἰς ὕδωρ αὐτοὺς χωρὶς ἀνάγκης ἀνασχόμενος ἐμβαλεῖν. ἀλλ' οὐδὲ γυμνωθέντα τις αὐτὸν ἑώρακεν: οὐδὲ ὅλως τὸ σῶμά τις Ἀντωνίου εἶδε γυμνὸν, εἰ μὴ ὅτι τελευτήσας ἐθάπτετο. ἀναχωροῦντι τοίνυν αὐτῷ, καὶ προθεμένῳ ποιῆσαι χρόνον, ὥστε μήτε αὐτὸν προϊέναι, μήτε τινὰ δέξασθαι: Μαρτινιανός τις, ἄρχων στρατιωτῶν, ἐλθὼν, ἐγένετο δι' ὄχλου τῷ Ἀντωνίῳ. εἶχε γὰρ ὑπὸ δαίμονος ἐνοχλουμένην τὴν θυγατέρα. ὡς δὲ ἐπὶ πολὺ διέμενε κόπτων τὴν θύραν, καὶ ἀξιῶν ἐλθεῖν αὐτὸν, καὶ εὔξασθαι τῷ Θεῷ διὰ τὴν παῖδα: ἀνοῖξαι μὲν οὐκ ἠνέσχετο. παρακύψας δὲ ἄνωθεν, εἶπεν: ἄνθρωπε, τί μου κατακράζεις; ἄνθρωπός εἰμι κἀγὼ, ὥσπερ καὶ σύ. εἰ δὲ πιστεύεις, εὖξαι τῷ Θεῷ, καὶ γίνεται. εὐθὺς οὖν ἐκεῖνος πιστεύσας, καὶ ἐπικαλεσάμενος τὸν Χριστὸν, ἀπῆλθεν, ἔχων τὴν θυγατέρα καθαρισθεῖσαν ἀπὸ τοῦ δαίμονος. πολλὰ δὲ καὶ ἄλλα δι' αὐτοῦ πεποίηκεν ὁ κύριος, λέγων· αἰτεῖτε καὶ δοθήσεται ὑμῖν. πλεῖστοι γὰρ τῶν πασχόντων, μὴ ἀνοίγοντος αὐτοῦ τὴν θύραν, μόνον ἐκάθευδον ἔξω τοῦ μοναστηρίου, καὶ πιστεύοντες καὶ εὐχόμενοι γνησίως, ἐκαθαρίζοντο. ὡς δὲ εἶδεν ἑαυτὸν ἐνοχλούμενον ὑπὸ πολλῶν καὶ μὴ ἀφιέμενον κατὰ γνώμην ἀναχωρεῖν ὡς βούλεται: εὐλαβηθεὶς, μὴ ἐξ ὧν ὁ κύριος ποιεῖν

δι' αὐτοῦ,

nus in nostram & aliorum utilitatem servatum ipsum voluit; ut in ascetica, qvam è sacris literis didicit, multis magister foret. Multi namq; viso duntaxat ejus vitæ genere, æmulari ipsũ enitebantur. Qvare iterum, suo more, cõfessoribus inserviebat; & qvasi vinculis constrictus iisdem, labores & servitutẽ [eandem] perpetiebatur. Persecutione finita, qva & beatæ memoriæ episcopus Petrus martyrium subiit: relicta urbe, in monasteriũ rursus secessit. Ubi qvotidie martyrem cõscientiâ, & athletam in fidei certamine egit; ascetã qvippe majore, qvàm priùs, contentione. Iejunabat enim semper: veste amiciebatur interiore, cilicio; exteriore, pelle; quam ad vitæ finem usq; retinuit, neq; corporis sordes abstergens, neq; pedes abluens prorsus, qvos non nisi coactus inter ambulandum aqvæ immergi toleravit. qvin neq; exutum qvis vidit Antonium, neq; corpus ipsius nudum; nisi qvum mortuus tumulo erat mandandus. Secessione igitur illa, qvam dixi, facta; qvum secum constituisset, aliquandiu neque egredi, neq; ad se quemquam admittere: Martinianus qvidam, militum præfectus, venit eiq; molestus fuit; propter filiã à dæmone afflictam. Qui, cum pulsare ostium non intermitteret; peteretq; ut accederet, votaq; Deo pro illa faceret: januam Antonius quidem non aperuit: sed è superiore loco prospectans, homo (inqvit) qvid* adversum me clamas? Homo sum æqvè ac tu. *à me clamore contendis? Qvod si Christo credis, cui servio: abi ut credis, precare Deum, & fiet. Credidit illicò; invocatoq; Christo, cum abiret, à dæmone filia fuit munda. Multa etiam alia per ipsum Dominus est operatus, qvi dixit; Petite, & dabitur vobis. Plurimi enim, qvi Matth. 7, 7. affligebantur; foribus per ipsum non apertis, extra monasterium sedebant; & credendo, recteq; orando, mundabãtur. Postea verò quàm vidit, turbam sibi molestam esse, neq; pro arbitrio secessu se uti posse: ne ob ea, qvæ Dominus per ipsum esset opera-

2.Cor.12,6. *tus, se extolleret; aut alius quis in ipso super id quod esset existimaret: re deliberata, ad eos in superi[illegible]ri Thebaide contendit proficisci, quibus ignotus esset. Panib[illegible]taq; acceptis à fratribus, ad fluminis ripam sedebat, ut [illegible] adventare navim observaret, eam cum vectoribus co[illegible]et. Quod dum cogitat: vox è supernis quædam ad au[illegible]ccidit; Antoni, quo tendis? quá ve de causa? Ille nihil pe[illegible]tus; sed tanquam sæpe ita solitus appellari; ut audijt: respo[illegible]it, Quia turbæ me non sinunt quiescere, illuc me cõferre decrevi: subinde enim hîc interturbor; potissimùm verò etiam, quia efflagitãt ea à me, quæ vires meas excedunt. Ibi rursum sibi audit acclamari; Etiamsi ascendas in locum illum; etiamsi, ut animus tibi est, ad armenta boum descendas: plus, quin duplum, laboris tibi erit sustinendum. Quòd si omnino quietẽ desideras: abi in eremum interiorem. Percunctante Antonio, Ecquis viam ostendet mihi? ejus enim sum ignarus: Saracenos ei monstrat illicò, eam ipsam viam transituros. Accedere igitur Antonius propiùs; eosq; rogare, ut in desertum unà secum pergere ipsum paterentur: illi, tanquam divinæ providentiæ jussu, recipere. Itinere cum illis trium dierum, & noctium totidem, confecto; ad montẽ admodùm excelsum pervenit, cujus ad radicem aqua erat limpidissima, dulcis & per quàm frigida; planicies porrò exteriùs, & paucæ palmæ incultæ. Locum Antonius, tanquam à Deo motus, diligere. Hunc enim intelligebat is, qui cum ipso ad fluminis ripam fuit locutus. Initio itaq; acceptis panibus à viæ socijs, solus in monte, nemine præsente, moratus est. Id enim tanquam proprium sibi domicilium duxit. Ipsi quoq; Saraceni, visa illius alacritate, viam illam [deinceps] studiosè perambularunt, eiq; panes læti attulerunt. Non nihil etiam palmulæ istæ tunc eum recrearunt. Posthac, cognito fratres loco; velut filij parentis memores, so-*

δι' αὐτοῦ, ἢ αὐτὸς ἐπαρθῇ, ἢ ἄλλος τις ὑπὲρ ὅ ἐστι λογίσηται περὶ αὐτοῦ: ἐσκέψατο καὶ ὥρμησεν ἀνελθεῖν εἰς τὴν ἄνω Θηβαΐδα πρὸς τοὺς ἀγνοοῦντας αὐτόν. καὶ δὴ παρὰ τῶν ἀδελφῶν δεξάμενος ἄρτους, ἐκάθητο παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ, σκοπῶν εἰ ἄρα παρέλθοι πλοῖον, ἵνα ἐμβὰς ἀνέλθῃ μετ' αὐτῶν. ταῦτα δὲ αὐτοῦ σκεπτομένου· φωνή τις ἄνωθεν γέγονε πρὸς αὐτόν, ἀντώνιε, ποῦ πορεύῃ, καὶ διὰ τί; ὁ δὲ μὴ ταραχθείς: ἀλλ', ὡς εἰωθὼς καλεῖσθαι πολλάκις οὕτως, ἐπακούσας, ἀπεκρίνατο λέγων: ἐπειδὴ οὐκ ἐπιτρέπουσί μοι ἠρεμεῖν οἱ ὄχλοι, διὰ τοῦτο βούλομαι ἀνελθεῖν εἰς τὴν ἄνω Θηβαΐδα, διὰ τὰς πολλὰς ὧδε μοι γινομένας ἐνοχλήσεις· καὶ μάλιστα, διὰ τὸ ἀπαιτεῖσθαί με παρ' αὐτῶν τὰ ὑπὲρ τὴν ἐμὴν δύναμιν. * ὁ δὲ πρὸς αὐτὸν ἡ φωνή· κἂν εἰς τὴν Θηβαΐδα ἀνέλθῃς, κἂν (ὡς ἐνθυμῇ) κατέλθῃς εἰς τὰ Βουκόλια: πλείω καὶ διπλασίονα τὸν κάματον ἔχεις ὑπομένειν. εἰ δὲ θέλεις ὄντως ἠρεμεῖν, ἄπελθε νῦν εἰς τὴν ἐσωτέραν ἔρημον. τοῦ δὲ ἀντωνίου λέγοντος, καὶ τίς δείξει μοι τὴν ὁδόν, ἄπειρος γάρ εἰμι ταύτης; εὐθὺς ἔδειξεν αὐτῷ σαρακηνοὺς μέλλοντας ὁδεύειν τὴν ὁδὸν ἐκείνην. προσελθὼν τοίνυν, καὶ ἐγγίσας αὐτοῖς ὁ ἀντώνιος ἠξίου σὺν αὐτοῖς εἰς τὴν ἔρημον ἀπελθεῖν. οἱ δὲ ὥσπερ ἐξ ἐπιτάγματος τῆς προνοίας, προθύμως αὐτὸν ἐδέξαντο. καὶ ὁδεύσας τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας μετ' αὐτῶν, ἦλθεν εἰς ὄρος λίαν ὑψηλόν. καὶ ὕδωρ μὲν ἦν ὑπὸ τὸ ὄρος διειδέστατον, γλυκὺ, καὶ μάλα ψυχρόν. πεδιὰς δὲ ἔξωθεν, καὶ φοίνικες ἀμεληθέντες ὀλίγοι. ὁ οὖν ἀντώνιος ὥσπερ θεόθεν κινούμενος, ἠγάπησε τὸν τόπον. οὗτος γὰρ ἦν, ὃν ἐσήμαινεν ὁ λαλήσας αὐτῷ παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ. τὴν μὲν οὖν ἀρχὴν δεξάμενος παρὰ τῶν συνοδευσάντων ἄρτους ἔμεινεν ἐν τῷ ὄρει μόνος, οὐδενὸς ἑτέρου συνόντος αὐτῷ. ὡς γὰρ ἴδιον οἶκον ἐπιγνούς, εἶχε λοιπὸν τὸν τόπον ἐκεῖνον: αὐτοί τε οἱ σαρακηνοί, θεωρήσαντες τὴν τοῦ ἀντωνίου προθυμίαν, ἐξεπίτηδες ἐκείνην τὴν ὁδὸν διήρχοντο· καὶ χαίροντες ἔφερον ἄρτους αὐτῷ. εἶχε δὲ καὶ τὴν ἀπὸ τῶν φοινίκων ὀλίγην τινὰ τότε καὶ εὐτελῆ παραμυθίαν. μετὰ δὲ ταῦτα μαθόντες οἱ ἀδελφοὶ τὸν τόπον, ὡς τέκνα πατρὸς μνημο-

γίσ. τίπ πρὸς

γνόντες, ἐφρόντιζον ἀποστέλλειν αὐτῷ. ἀλλ' ὁρῶν ὁ Ἀντώνιος, ὅτι προφάσει τοῦ ἄρτου σκύλλονταί τινες ἐκεῖ, καὶ κάματον ὑπομένουσι· φειδόμενος καὶ ἐν τούτῳ τῶν μοναχῶν, ἐβουλεύσατο καθ' ἑαυτόν. καὶ τῶν εἰσερχομένων τινὰς πρὸς αὐτὸν, ἠξίωσε κομίσαι αὐτῷ δίκελλαν καὶ πέλεκυν καὶ σῖτον ὀλίγον. ὡς δὲ ἐκομίσθη ταῦτα, διοδεύσας τὴν περὶ τὸ ὄρος γῆν, βραχύτατόν τινα τόπον εὑρὼν ἐπιτήδειον, ἐγεώργησε· καὶ τὸν ἐκ τοῦ ὕδατος ποτισμὸν ἀφθόνως ἔχων, ἔσπειρε. καὶ κατ' ἐνιαυτὸν τοῦτο ποιῶν, εἶχεν ἐκεῖθεν τὸν ἄρτον, χαίρων, ὅτι μηδενὶ διὰ τοῦτο γίνηται ὀχληρὸς, καὶ ὅτι ἐν πᾶσιν ἀβαρῆ ἑαυτὸν φυλάττει. ἀλλὰ μετὰ ταῦτα βλέπων πάλιν τινὰς ἐρχομένους, ἐγεώργησε καὶ ὀλίγα λάχανα: ἵνα ὁ εἰσερχόμενος ἔχῃ τινὰ παραμυθίαν ὀλίγην τοῦ καμάτου τῆς χαλεπῆς ἐκείνης ὁδοῦ. τὴν μὲν οὖν ἀρχὴν τὰ ἐν τῇ ἐρήμῳ θηρία προφάσει τοῦ ὕδατος ἐρχόμενα, πολλάκις ἔβλαπτον αὐτοῦ τὸν σπόρον καὶ τὴν γεωργίαν. αὐτὸς δὲ χαριέντως κρατήσας ἓν τῶν θηρίων, ἔλεγε τοῖς πᾶσι· διὰ τί με *βλάπτεται μηδὲν βλάπτοντα ὑμᾶς; ἀπέλθετε, καὶ ἐν τῷ ὀνόματι τοῦ κυρίου, μηκέτι ἐγγίσητε τοῖς ὧδε. καὶ ἐξ ἐκείνου λοιπὸν ὥσπερ φοβηθέντα τὴν παραγγελίαν, οὐκ ἔτι τῷ τόπῳ ἤγγισαν. αὐτὸς μὲν οὖν μόνος ἦν εἰς τὸ ἔσω ὄρος, ταῖς εὐχαῖς καὶ τῇ ἀσκήσει σχολάζων. οἱ δὲ ἀδελφοὶ οἱ διακονοῦντες αὐτῷ, ἠξίωσαν αὐτὸν, ἵνα διὰ μηνῶν εἰσερχόμενοι, κομίζωσιν αὐτῷ ἐλαίας καὶ ὄσπριον καὶ ἔλαιον· γέρων γὰρ λοιπὸν ἦν. ἐκεῖ τοίνυν ἀναστρεφόμενος, ὅσας ὑπέμεινε πάλας, κατὰ τὸ γεγραμμένον, οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τοὺς ἀντικειμένους δαίμονας: ἐκ τῶν εἰσερχομένων πρὸς αὐτὸν ἔγνωμεν. καὶ γὰρ κἀκεῖ θορύβων, καὶ φωνῶν πολλῶν, καὶ * κτύπον, ὡς ὅπλων ἤκουον· τό, τε ὄρος νυκτὸς πλῆρες θηρίων γινόμενον ἔβλεπον. ἐθεώρουν δὲ καὶ αὐτὸν ὡς πρὸς βλεπομένους μαχόμενον καὶ εὐχόμενον κατ' αὐτῶν. καὶ τοὺς μὲν ἐρχομένους πρὸς αὐτὸν παρεθάρρυνεν· αὐτὸς δὲ ἠγωνίζετο κάμπτων τὰ γόνατα καὶ προσευχόμενος τῷ κυρίῳ. καὶ ἦν ἀληθῶς θαύματος ἄξιον, ὅτι μόνος ἐν τοιαύτῃ

ἐρήμῳ

* βλάπτετε, μηδενὸς

* κτύπου ὡς ὅπλων

mores, solicitè panem ipsi miserunt. Verùm ut vidit Antonius, eo qvosdam prætextu fatigari illic, & laborem perferre: qvi in hoc etiam genere monachis parceret, secum deliberavit. Qvare à nonnullis, qvi ad ipsum veniebant, petiit, sibi ut ligonem, bipennem & modicum frumenti adferrent. Quibus allatis, & campo circa mõtem peragrato; locum haud ita amplum, sed aptum invenit, qvem coleret; in qvem etiam, qvod rigandi fons esset uberrimus, semina sparsit. Qvo singulis annis facto; satis inde panis sibi suppetere lætabatur, nec cuiquam molestiæ qvicquam exhiberi, neq; oneri se ulli in re ulla esse. Vbi autem rursũ qvosdam venire vidit: etiam olerum paucorum semina terræ ibidem mandavit; ut parum se inde advena qvicunq; posset reficere & recreare, difficultate itineris illius defatigatus. Ac primum quidẽ feræ in deserto potus gratia istuc ventitantes, qvũ sationi & culturæ sæpius officerent: una illarum blandè apprehensa, dixit universis; Qvid à nemine læsæ, me læditis? abite, in nomine Domini, nec jam hìc ulli appropinqvetis. Ex eo tempore, tanquam territæ mandato, nunquam propius accesserunt. Solus ergò in montis velut penetralibus precationi & asceticæ vacabat. Fratres verò, qui ei ministrabant, rogare ipsum, pateretur sibi unoqvoq; mensis spacio ab adventuris afferri olivas, legumen & oleum; jam enim erat senex. Ibi itaq; versatus, qvot certamina sustinuerit, secundum illud Scripturæ, Non adversus carnem & sanguinem, sed adversus dæmonas adversarios; ex iis, qui ad ipsum sunt ingressi, cognovimus. Nam & illic tumultus, voces multas, & strepitum velut armorum audierunt; montemq; noctu bestiarum plenum viderunt. contemplati etiã ipsum tanquam adversus visibiles pugnantem atq; orantem. Ac venientium ad se animos erexit; ipse luctatus, flexis genibus Deo supplicavit. Eratq; verè admiratu dignum, cùm in tali

Ephes. 6, 12

eremo solum

eremo solum neq; dæmonum insultu territum, neque tot ibidem ferarum qvadrupedum & serpentium immanitate perculsum:
Psal. 124. 1. sed, ut Scriptura loqvitur, omnino confisum in Domino, sicut mons Sion; animo tranquillo minimeq; perturbato fuisse: ut dæ-
Iob. 5, 23. mones potiùs fugerint, & bestiæ (qvemadmodum est scriptum) pacificæ ipsi fuerint. Proin diabolus, observato Antonio, dentes
Psal. 34. 16 super eum (ut canit David) frenduit: Antonius autē p Servatorem, precatus, ab illius astutia & varijs insidijs tutus esse potuit. Vigilanti ergò noctu Antonio bestias dæmon immisit & propemodùm qvotqvot erant in solitudine illa hyenæ, è suis egressæ latibulis, medium ipsum circundederunt. Qvæ qvum hiatu oris morsum minarētur singulæ: technā hostis animadversa, dixit ad universas; Si qva vobis data est adversum me potestas; vorari à vobis sum paratus: sin à dæmonibus estis subornatæ; citra cunctationem hinc facessite, Christi enim servus sū. Qvibus ab Antonio dictis; repentè istinc proripuerunt sese, verbo isto tanqvam verbere fugatæ pulsæq;. Post dies non ita multos, qvum labore (nam & hic ipsi curæ fuit) perfungeretur: adstans januæ qvispiam, funiculum operæ trahebat. Sportas enī nexuit, qvas ijs dare est pro re quacunq; allata solitus, qui ipsum convenirent. Vt igitur surrexit; bestiam vidit, formâ humanâ ad femora usq;; crura & pedes, asinum. Ibi Antonius, notâ crucis duntaxat signans sese, Servus Christi sum, inquit; si missus adversum me es, en adsum. At bestia cum dæmonibus sic fugitavit, ut celeritate caderet ac moreretur. qvæ illius mors, dæmonum ruina fuit; qvi toti in eo fuerūt, ut eremo ipsum subducerent, nec qvicquam valuerunt. Idem rogatus aliqvando à monachis, ut descenderet ad se, & tam ipsos qvàm loca inviseret aliqvātisper: iter cū his ingressus est, camelo panes & aqvā gestante. Eremus enim illa arida est tota, neq; ulla ibi aqva potui apta,

ἐρήμῳ ὤν, οὔτε δαιμόνων ἐφισταμένων ἐπτοεῖτο, οὔτε, τοσούτων ὄντων ἐκεῖ θηρίων τετραπόδων καὶ ἑρπετῶν, ἐφοβεῖτο τούτων τὴν ἀγριότητα: ἀλλ' ἀληθῶς, κατὰ τὸ γεγραμμένον, πεποιθὼς ἦν ἐπὶ κύριον ὡς ὄρος σιών, ἀσάλευτον ἔχων καὶ ἀκύμαντον τὸν νοῦν· ὥστε μᾶλλον τοὺς δαίμονας φεύγειν, καὶ τὰ θηρία τὰ ἄγρια, ὡς γέγραπται, εἰρηνεύειν πρὸς αὐτόν. ὁ μὲν οὖν διάβολος, ὡς ψάλλει Δαβίδ, παρετήρει τὸν ἀντώνιον, καὶ ἔτριζε κατ' αὐτοῦ τοὺς ὀδόντας: ὁ δὲ ἀντώνιος παρεκαλεῖτο παρὰ τοῦ σωτῆρος ἀβλαβὴς διαμένων ἀπὸ τῆς ἐκείνου πανουργίας, καὶ τῆς ποικίλης μεθοδείας. ἀγρυπνοῦντι τοίνυν αὐτῷ νυκτὸς, ἐπαφῆκε θηρία· καὶ σχεδὸν αἱ ἐν ἐκείνῃ τῇ ἐρήμῳ πᾶσαι ὕαιναι, ἐξελθοῦσαι τῶν φωλεῶν, περιεκύκλωσαν, καὶ μέσος ἦν αὐτός. χανούσης δὲ, καὶ δάκνειν ἑκάστης ἀπειλούσης: συνεὶς τὴν τοῦ ἐχθροῦ τέχνην, εἶπε πάσαις αὐταῖς: εἰ μὲν ἐξουσίαν ἐλάβετε κατ' ἐμοῦ, ἕτοιμός εἰμι βρωθῆναι παρ' ὑμῶν· εἰ δὲ παρὰ δαιμόνων ὑπεβλήθητε, μὴ μέλλετε, ἀλλ' ἀναχωρεῖτε, χριστοῦ γὰρ δοῦλός εἰμι. ταῦτα τοῦ ἀντωνίου λέγοντος, ἔφυγον ἐκεῖναι, ὡς ὑπὸ μάστιγος τοῦ λόγου διωκόμεναι. εἶτα μεθ' ἡμέρας ὀλίγας, ὡς εἰργάζετο, ἔμελε γὰρ αὐτῷ καὶ κοπιᾶν: ἐπιστάς τις τῇ θύρᾳ, εἷλκε τὴν σειρὰν τοῦ ἔργου. σπυρίδας γὰρ ἔρραπτε, καὶ ταύτας τοῖς εἰσερχομένοις ἀντὶ τῶν κομιζομένων αὐτῷ ἐδίδου. ἀναστὰς δὲ, εἶδε θηρίον, ἀνθρώπου μὲν ἐοικὸς ἕως τῶν μηρῶν, τὰ δὲ σκέλη καὶ τοὺς πόδας ὁμοίους ἔχων ὄνῳ. καὶ ὁ μὲν ἀντώνιος μόνον ἑαυτὸν ἐσφράγισε, καὶ εἶπε: χριστοῦ δοῦλός εἰμι, εἰ ἀπεστάλης κατ' ἐμοῦ, ἰδοὺ πάρειμι. τὸ δὲ θηρίον σὺν τοῖς ἑαυτοῦ δαίμοσιν οὕτως ἔφυγεν, ὡς ὑπὸ τῆς ὀξύτητος πεσεῖν καὶ ἀποθανεῖν. ὁ δὲ τοῦ θηρίου θάνατος, πτῶμα τῶν δαιμόνων ἦν. πάντα γὰρ ἐσπούδαζον ποιεῖν, ἵνα καταγάγωσιν αὐτὸν ἐκ τῆς ἐρήμου, καὶ οὐκ ἴσχυσαν. ἀξιωθεὶς δέ ποτε παρὰ τῶν μοναχῶν κατελθεῖν πρὸς αὐτοὺς, καὶ ἐπισκέψασθαι διὰ χρόνου αὐτούς τε καὶ τοὺς τόπους: ὥδευσε σὺν τοῖς μοναχοῖς τοῖς ἀπαντήσασι. κάμηλος δὲ αὐτοῖς ἐβάσταζε τοὺς ἄρτους καὶ τὸ ὕδωρ. ἄνυδρος γὰρ ἔρημός ἐστιν ἐκείνη πᾶσα, καὶ οὐκ ἔστιν ὕδωρ

ob necessitatem concedi: totum autem animi potius commodis tribuendum; ne is corporis voluptatibus deorsum trahatur, sed
Lucæ 12, 22 hoc ab ipso in servitutem redigatur. Qvod Servator noster in-
29. nuerit, cum diceret; Nolite solciti esse animæ vestræ, qvid mã-
30.
31. ducetis; neque corpori, quid induamini. & vos nolite qværere,
Matth.6,22 qvid manducetis aut quid bibatis; & nolite in sublime tolli. hæc enim omnia gentes mundi quærunt: Pater autẽ vester scit, quia his omnibus indigetis. Veruntamẽ quærite [primùm] regnũ ejus, & hæc omnia adjicientur vobis. Posthac, persecutio illa, qvæ Maximinum autorem habebat, Ecclesiam invasit. Sanctos itaque martyres in Alexandriam ductos, relicto monasterio, & ipse comitabatur, cum diceret; Abeamus & nos; ut vocati vel in certamẽ descendamus, vel alios decertare videamus, ac martyrij qvidem desiderio flagravit: ipse autem se nolens tradere, Confessoribus tam in metallis quàm in carceribus inservivit. Maxima qvoque ipsi cura fuit, in judicio ad certamina vocatos exhortari & alacriores reddere; martyriumq; passuros excipere, deducere ac prosequi; donec* consummati suo sangvine, Deo consecrarentur. Iudex itaque, viso tam illius quàm eorum qui unà aderant animo intrepido, & ad toleranda qvævis parato: interdixit, ne qvis monachorum in judicio conspectus fieret, neque in urbe ullus ijs commorandi locus esset. Alijs ergò omnibus placuit die illo abscondi: at Antonium adeò nõ movit interdictum, ut vestem scapularem magis etiam laverit; & seqventi die in loco edito anterior steterit, nec judicis aspectum effugerit. Qvod admirabantur omnes; ipse qvoque dux præfectusq;, cum suo satellitio, in transitu videbat: verùm ille absq; omni tremore stabat, ut Christianorum alacritatem animi ostenderet. Martyr enim (ut jam est dictum) & is fieri exoptabat: cujus voti nõ factus compos, maximo in dolore fuit. Verùm Dominus in

*tanqnam victima D.c.

μὲν διὰ τὴν ἀνάγκην ὀλίγον καιρὸν τῷ σώματι· τὸ δὲ ὅλον σχολάζειν τῇ ψυχῇ μᾶλλον, καὶ τὴν ταύτης ὠφέλειαν ζητεῖν· ἵνα μὴ αὕτη καθέλκηται ὑπὸ τῶν ἡδονῶν τοῦ σώματος, ἀλλὰ μᾶλλον τὸ σῶμα παρ' αὐτῆς δουλαγωγῆται. τοῦτο γὰρ εἶναι τὸ λεγόμενον παρὰ τοῦ σωτῆρος: μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν, τί φάγητε, μηδὲ τῷ σώματι τί ἐνδύσησθε. καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε καὶ τί πίητε, καὶ μὴ μετεωρίζεσθε: ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ. ὑμῶν δὲ ὁ πατὴρ οἶδεν, ὅτι χρῄζετε τούτων ἁπάντων. πλὴν ζητεῖτε πρῶτον τὴν βασιλείαν αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. μετὰ ταῦτα κατέλαβε τὴν ἐκκλησίαν ὁ κατὰ Μαξιμῖνον τηνικαῦτα γενόμενος διωγμός. καὶ τῶν ἁγίων μαρτύρων ἀγομένων εἰς τὴν Ἀλεξάνδρειαν, ἠκολούθησε καὶ αὐτὸς, ἀφεὶς τὸ μοναστήριον, λέγων: ἀπέλθωμεν καὶ ἡμεῖς· ἵνα ἀγωνισώμεθα κληθέντες, ἢ θεωρήσωμεν τοὺς ἀγωνιζομένους. καὶ πόθον μὲν εἶχε μαρτυρῆσαι: παραδοῦναι δὲ μὴ θέλων ἑαυτὸν, ὑπηρέτει τοῖς ὁμολογηταῖς ἔν τε τοῖς μετάλλοις, καὶ ἐν ταῖς φυλακαῖς. πολλή τε ἦν αὐτῷ σπουδὴ ἐν τῷ δικαστηρίῳ, ἀγωνιζομένους μὲν τοὺς καλουμένους, ἐπαλείφειν εἰς προθυμίαν, μαρτυροῦντας δὲ αὐτοὺς ἀπολαμβάνειν καὶ προπέμπειν ἕως τελειωθῶσιν. ὁ γοῦν δικαστὴς βλέπων αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ τὸ ἄφοβον καὶ τὴν εἰς τοῦτο σπουδὴν: παρήγγειλε μηδένα τῶν μοναχῶν ἐν τῷ δικαστηρίῳ φαίνεσθαι, μηδὲ ὅλως ἐν τῇ πόλει διατρίβειν. οἱ μὲν οὖν ἄλλοι πάντες ἔδοξαν κρύπτεσθαι τὴν ἡμέραν ἐκείνην: ὁ δὲ Ἀντώνιος τοσοῦτον ἐφρόντιζεν, ὥστε καὶ μᾶλλον πλῦναι τὸν ἐπενδύτην, καὶ τῇ ἑξῆς ἔμπροσθεν ἐφ' ὑψηλοῦ στῆναι, καὶ φαίνεσθαι τῷ ἡγεμόνι λαμπρόν. πάντων οὖν ἐπὶ τούτῳ θαυμαζόντων, καὶ τοῦ ἡγεμόνος ὁρῶντος, καὶ μετὰ τῆς τάξεως αὐτοῦ διαβαίνοντος: αὐτὸς ἀτρέμας εἱστήκει, δεικνὺς ἡμῶν τῶν χριστιανῶν τὴν προθυμίαν. ηὔχετο γὰρ καὶ αὐτὸς μαρτυρῆσαι, καθὰ προεῖπον. ὁ αὐτὸς μὲν οὖν λυπουμένῳ ἐῴκει, ὅτι μὴ μεμαρτύρηκεν. ὁ δὲ κύριος

γρ. Μαξιμιανόν, [illegible]

ἦν αὐτὸν φυλάττων, εἰς τὴν ἡμῶν καὶ τῶν ἑτέρων ὠφέλειαν· ἵνα καὶ ἐν τῇ ἀσκήσει, ἣν ἐκ τῶν γραφῶν αὐτὸς μεμάθηκε, πολλοῖς διδάσκαλος γένηται. καὶ γὰρ καὶ μόνον βλέποντες αὐτοῦ τὴν ἀγωγὴν, πολλοὶ, τῆς πολιτείας αὐτοῦ ζηλωταὶ ἐσπούδαζον γενέσθαι. πάλιν οὖν ὑπηρέτει συνήθως τοῖς ὁμολογηταῖς. καὶ ὡς συνδεδεμένος αὐτοῖς, ἦν κοπιῶν ἐν ταῖς ὑπηρεσίαις. ἐπειδὴ δὲ λοιπὸν ὁ διωγμὸς ἐπαύσατο, καὶ μεμαρτύρηκεν ὁ μακαρίτης ἐπίσκοπος Πέτρος: ἀπεδήμησε, καὶ πάλιν εἰς τὸ μοναστήριον ἀνεχώρει. καὶ ἦν ἐκεῖ καθ' ἡμέραν μαρτυρῶν τῇ συνειδήσει, καὶ ἀγωνιζόμενος τοῖς τῆς πίστεως ἄθλοις. καὶ γὰρ καὶ ἀσκήσει πολλῇ καὶ συντονωτέρᾳ ἐκέχρητο. ἐνήστευε γὰρ ἀεί: τὸ δὲ ἔνδυμα εἶχεν, ἔνδον μὲν, τρίχινον. ἔξωθεν δὲ δερμάτινον. ὃ καὶ ἕως τελευτῆς τετήρηκε. μήτε σῶμα διὰ ῥύπον ὕδατι λούσας, μήθ' ὅλως τοὺς πόδας ἀπονίψας, ἢ κἂν ἁπλῶς εἰς ὕδωρ αὐτοὺς χωρὶς ἀνάγκης ἀνασχόμενος ἐμβαλεῖν. ἀλλ' οὐδὲ γυμνωθέντα τις αὐτὸν ἑώρακεν: οὐδὲ ὅλως τὸ σῶμά τις Ἀντωνίου εἶδε γυμνὸν, εἰ μὴ ὅτι τελευτήσας ἐθάπτετο. ἀναχωροῦντι τοίνυν αὐτῷ, καὶ προθεμένῳ ποιῆσαι χρόνον, ὥστε μήτε αὐτὸν προϊέναι, μήτε τινὰ δέξασθαι: Μαρτινιανός τις, ἄρχων στρατιωτῶν, ἐλθὼν, ἠνώχλει τῷ Ἀντωνίῳ. εἶχε γὰρ ὑπὸ δαίμονος ἐνοχλουμένην τὴν θυγατέρα. ὡς δὲ ἐπὶ πολὺ διέμενε κόπτων τὴν θύραν, καὶ ἀξιῶν ἐλθεῖν αὐτὸν, καὶ εὔξασθαι τῷ θεῷ διὰ τὴν παῖδα: ἀνοῖξαι μὲν οὐκ ἠνέσχετο. παρακύψας δὲ ἄνωθεν, εἶπεν: ἄνθρωπε, τί μου κατακράζεις; ἄνθρωπός εἰμι κἀγὼ, ὥσπερ καὶ σύ. εἰ δὲ πιστεύεις, εὔξαι τῷ Θεῷ, καὶ γίνεται. εὐθὺς οὖν ἐκεῖνος πιστεύσας, καὶ ἐπικαλεσάμενος τὸν χριστὸν, ἀπῆλθεν, ἔχων τὴν θυγατέρα καθαρισθεῖσαν ἀπὸ τοῦ δαίμονος. πολλὰ δὲ καὶ ἄλλα δι' αὐτοῦ πεποίηκεν ὁ κύριος, λέγων· αἰτεῖτε καὶ δοθήσεται ὑμῖν. πλεῖστοι γὰρ τῶν πασχόντων, μὴ ἀνοίγοντος αὐτοῦ τὴν θύραν, μόνον ἐκάθευδον ἔξω τοῦ μοναστηρίου, καὶ πιστεύοντες καὶ εὐχόμενοι γνησίως, ἐκαθαρίζοντο. ὡς δὲ εἶδεν ἑαυτὸν ὀχλούμενον ὑπὸ πολλῶν καὶ μὴ ἀφιέμενον κατὰ γνώμην ἀναχωρεῖν ὡς βούλεται: εὐλαβηθεὶς, μὴ ἐξ ὧν ὁ κύριος ποιεῖ

δι' αὐτοῦ

nus in nostram & aliorum utilitatem servatum ipsum voluit; ut in ascetica, qvam è sacris literis didicit, multis magister foret. Multi namq; viso duntaxat ejus vitæ genere, æmulari ipsũ enitebantur. Qvare iterum, suo more, cõfessoribus inserviebat; & qvasi vinculis constrictus iisdem, labores & servitutẽ [eandem] perpetiebatur. Persecutione finita, qva & beatæ memoriæ episcopus Petrus martyrium subiit: relicta urbe, in monasteriũ rursus secessit. Ubi qvotidie martyrem cõscientiâ, & athletam in fidei certamine egit; ascetã qvippe majore, qvàm priùs, contentione. Iejunabat enim semper: veste amiciebatur interiore, cilicio; exteriore, pelle; quam ad vitæ finem usq; retinuit, neq; corporis sordes abstergens, neq; pedes abluens prorsus, qvos non nisi coactus inter ambulandum aqvæ immergi toleravit. qvin neq; exutum qvis vidit Antonium, neq; corpus ipsius nudum; nisi qvum mortuus tumulo erat mandandus. Secessione igitur illa, qvam dixi, facta; qvum secum constituisset, aliquandiu neque egredi, neq; ad se quemquam admittere: Martinianus qvidam, militum præfectus, venit eiq; molestus fuit; propter filiã à dæmone afflictam. Qui, cum pulsare ostium non intermitteret; peteretq; ut accederet, votaq; Deo pro illa faceret: januam Antonius quidem non aperuit: sed è superiore loco prospectans, homo (inqvit) qvid adversum me clamas? Homo sum æqvè ac tu. Qvod si Christo credis, cui servio: abi* ut credis, precare Deum, & fiet. Credidit illicò; invocatoq; Christo, cum abiret, à dæmone filia fuit munda. Multa etiam alia per ipsum Dominus est operatus, qvi dixit; Petite, & dabitur vobis. Plurimi enim, qvi affligebantur; foribus per ipsum non apertis, extra monasterium sedebant; & credendo, recteq; orando, mundabãtur. Postea verò quàm vidit, turbam sibi molestam esse, neq; pro arbitrio secessu se uti posse: ne ob ea, qvæ Dominus per ipsum esset operatus, se*

*à me clamore contendis?

Matth. 7, 7.

2.Cor,12,6. *tus, se extolleret; aut alius qvis in ipso super id qvod esset existimaret: re deliberata, ad eos in superiori Thebaide contendit proficisci, qvibus ignotus esset. Panib[illegible] itaq; acceptis à fratribus, ad fluminis ripam sedebat, ut, [illegible] adventare navim observaret, eam cum vectoribus cor[illegible]et. Qvod dum cogitat: vox è supernis qvædam ad au[illegible]ccidit; Antoni, quo tendis? quá've de causa? Ille nihil pe[illegible]tus; sed tanqvam sæpe ita solitus appellari; ut audijt: respo[illegible]it, Quia turbæ me non sinunt qviescere, illuc me cōferre decrevi: subinde enim hîc interturbor; potissimùm verò etiam, qvia efflagitāt ea à me, qvæ vires meas excedunt. Ibi rursum sibi audit acclamari; Etiamsi ascendas in locum illum; etiamsi, ut animus tibi est, ad armenta boum descendas: plus, qvin duplum, laboris tibi erit sustinendum. Qvòd si omnino qvietē desideras: abi in eremum interiorem. Percunctante Antonio, Ecquis viam ostendet mihi? ejus enim sum ignarus: Saracenos ei monstrat illicò, eam ipsam viam transituros. Accedere igitur Antonius propiùs; eosq; rogare, ut in desertum unà secum pergere ipsum paterentur: illi, tanquam divinæ providentiæ jussu, recipere. Itinere cum illis trium dierum, & noctium totidem, confecto; ad montē admodùm excelsum pervenit, cujus ad radicem aqua erat limpidissima, dulcis & per quâm frigida; planicies porrò exteriùs, & paucæ palmæ incultæ. Locum Antonius, tanquam à Deo motus, diligere. Hunc enim intelligebat is, qui cum ipso ad fluminis ripam fuit locutus. Initio itaq; acceptis panibus à viæ socijs, solus in monte, nemine præsente, moratus est. Id enim tanquam proprium sibi domicilium duxit. Ipsi qvoq; Saraceni, visa illius alacritate, viam illam [deinceps] studiosè perambularunt, eiq; panes læti attulerunt. Non nihil etiam palmulæ istæ tunc eum recrearunt. Posthac, cognito fratres loco; velut filij parentis memores, so-*

δι' αὐτοῦ, ἢ αὐτὸς ἐπαρθῇ, ἢ ἄλλος τις ὑπὲρ ὅ ἐστι λογίσηται περὶ αὐτοῦ· ἐσκέψατο καὶ ὥρμησεν ἀνελθεῖν εἰς τὴν ἄνω Θηβαΐδα πρὸς τοὺς ἀγνοοῦντας αὐτόν. καὶ δὴ παρὰ τῶν ἀδελφῶν δεξάμενος ἄρτους, ἐκάθητο παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ, σκοπῶν εἰ ἄρα παρέλθοι πλοῖον ἵνα ἐμβὰς ἀνέλθῃ μετ' αὐτῶν. ταῦτα δὲ αὐτοῦ σκεπτομένου· φωνή τις ἄνωθεν γέγονε πρὸς αὐτόν, Ἀντώνιε, ποῦ πορεύῃ, καὶ διὰ τί; ὁ δὲ μὴ ταραχθείς: ἀλλ', ὡς εἰωθὼς καλεῖσθαι πολλάκις οὕτως, ἐπακούσας, ἀπεκρίνατο λέγων: ἐπειδὴ οὐκ ἐπιτρέπουσί μοι ἠρεμεῖν οἱ ὄχλοι, διὰ τοῦτο βούλομαι ἀνελθεῖν εἰς τὴν ἄνω Θηβαΐδα, διὰ τὰς πολλὰς ὧδε μοι γινομένας ἐνοχλήσεις· καὶ μάλιστα, διὰ τὸ ἀπαιτεῖσθαί με παρ' αὐτῶν τὰ ὑπὲρ τὴν ἐμὴν δύναμιν. * ὁ δὲ πρὸς αὐτὸν ἡ φωνή· κἂν εἰς τὴν Θηβαΐδα ἀνέλθῃς, κἂν (ὡς ἐνθυμῇ) κατέλθῃς εἰς τὰ βουκόλια: πλείω καὶ διπλασίονα τὸν κάματον ἔχεις ὑπομένειν. εἰ δὲ θέλεις ὄντως ἠρεμεῖν, ἄπελθε νῦν εἰς τὴν ἐσωτέραν ἔρημον. τοῦ δὲ Ἀντωνίου λέγοντος, καὶ τίς δείξει μοι τὴν ὁδόν, ἄπειρος γάρ εἰμι ταύτης; εὐθὺς ἔδειξεν αὐτῷ Σαρακηνοὺς μέλλοντας ὁδεύειν τὴν ὁδὸν ἐκείνην. προσελθὼν τοίνυν, καὶ ἐγγίσας αὐτοῖς ὁ Ἀντώνιος ἠξίου σὺν αὐτοῖς εἰς τὴν ἔρημον ἀπελθεῖν. οἱ δὲ ὥσπερ ἐξ ἐπιτάγματος τῆς προνοίας, προθύμως αὐτὸν ἐδέξαντο. καὶ ὁδεύσας τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας μετ' αὐτῶν, ἦλθεν εἰς ὄρος λίαν ὑψηλόν· καὶ ὕδωρ μὲν ἦν ὑπὸ τὸ ὄρος διειδέστατον, γλυκύ, καὶ μάλα ψυχρόν. πεδιὰς δὲ ἔξωθεν, καὶ φοίνικες ἀμεληθέντες ὀλίγοι. ὁ οὖν Ἀντώνιος ὥσπερ θεόθεν κινούμενος, ἠγάπησε τὸν τόπον. οὗτος γὰρ ἦν, ὃν ἐσήμαινεν ὁ λαλήσας αὐτῷ παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ. τὴν μὲν οὖν ἀρχὴν δεξάμενος παρὰ τῶν συνοδευσάντων ἄρτους ἔμεινεν ἐν τῷ ὄρει μόνος, οὐδενὸς ἑτέρου συνόντος αὐτῷ. ὡς γὰρ ἴδιον οἶκον ἐπιγνούς, εἶχε λοιπὸν τὸν τόπον ἐκεῖνον. αὐτοί τε οἱ Σαρακηνοί, θεωρήσαντες τὴν τοῦ Ἀντωνίου προθυμίαν, ἐξεπίτηδες ἐκείνην τὴν ὁδὸν διήρχοντο· καὶ χαίροντες ἔφερον ἄρτους αὐτῷ. εἶχε δὲ καὶ τὴν ἀπὸ τῶν φοινίκων ὀλίγην τινὰ τότε καὶ εὐτελῆ παραμυθίαν. μετὰ δὲ ταῦτα μαθόντες οἱ ἀδελφοὶ τὸν τόπον, ὡς τέκνα πατρὸς μνημο-

γίσ. τίπι [illegible]

γενόμενος, ἐφρόντιζον ἀποστέλλειν αὐτῷ. ἀλλ' ὁρῶν ὁ ἀντώνιος, ὅτι ἐκ προφάσει τοῦ ἄρτου σκύλλονταί τινες ἐκεῖ, καὶ κάματον ὑπομένουσι: φειδόμενος καὶ ἐν τούτῳ τῶν μοναχῶν, ἐβουλεύσατο καθ' ἑαυτόν. καὶ τῶν εἰσερχομένων τινὰς πρὸς αὐτὸν, ἠξίωσε κομίσαι αὐτῷ δίκελλαν καὶ πέλεκυν καὶ σῖτον ὀλίγον. ὡς δὲ ἐκομίσθη ταῦτα, *διοδεύσας τὴν περὶ τὸ ὄρος γῆν, βραχύτατόν τινα τόπον εὑρὼν ἐπιτήδειον, ἐγεώργησε· καὶ τὸν ἐκ τοῦ ὕδατος ποτισμὸν ἀφθόνως ἔχων, ἔσπειρε· καὶ κατ' ἐνιαυτὸν τοῦτο ποιῶν, εἶχεν ἐκεῖθεν τὸν ἄρτον χαίρων, ὅτι μηδενὶ διὰ τοῦτο γίνεται ὀχληρός, καὶ ὅτι ἐν πᾶσιν ἀβαρῆ ἑαυτὸν φυλάττει. ἀλλὰ μετὰ ταῦτα βλέπων πάλιν τινὰς ἐρχομένους, ἐγεώργησε καὶ ὀλίγα λάχανα: ἵνα ὁ εἰσερχόμενος ἔχει τινὰ παραμυθίαν ὀλίγην τοῦ καμάτου τῆς χαλεπῆς ἐκείνης ὁδοῦ. τὴν μὲν οὖν ἀρχὴν τὰ ἐν τῇ ἐρήμῳ θηρία προφάσει τοῦ ὕδατος ἐρχόμενα, πολλάκις ἔβλαπτον αὐτοῦ τὸν σπόρον καὶ τὴν γεωργίαν. αὐτὸς δὲ χαριέντως κρατήσας ἓν τῶν θηρίων, ἔλεγε τοῖς πᾶσι· διὰ τί με *βλάπτητε μηδὲν βλάπτοντος ὑμᾶς; ἀπέλθετε, καὶ ἐν τῷ ὀνόματι τοῦ κυρίου, μηκέτι ἐγγίσητε τοῖς ὧδε. καὶ ἐξ ἐκείνου λοιπὸν ὥσπερ φοβηθέντα τὴν παραγγελίαν, οὐκ ἔτι τῷ τόπῳ ἤγγισαν. αὐτὸς μὲν οὖν μόνος ἦν εἰς τὸ ἔσω ὄρος, ταῖς εὐχαῖς καὶ τῇ ἀσκήσει σχολάζων. οἱ δὲ ἀδελφοὶ οἱ διακονοῦντες αὐτῷ, ἠξίωσαν αὐτὸν, ἵνα διὰ μηνῶν εἰσερχόμενοι, κομίζωσιν αὐτῷ ἐλαίας καὶ ὄσπριον καὶ ἔλαιον· γέρων γὰρ λοιπὸν ἦν. ἐκεῖ τοίνυν διαστρεφόμενος, ὅσας ὑπέμεινε πάλας, κατὰ τὸ γεγραμμένον, οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τοὺς ἀντικειμένους δαίμονας: ἐκ τῶν εἰσερχομένων πρὸς αὐτὸν ἔγνωμεν. καὶ γὰρ κἀκεῖ θορύβων, καὶ φωνῶν πολλῶν, καὶ *κτύπον, ὡς ὅπλων ἤκουον. τό, τε ὄρος νυκτὸς πλῆρες θηρίων γενόμενον ἔβλεπον. ἐθεώρουν δὲ καὶ αὐτὸν ὡς πρὸς βλεπομένους μαχόμενον καὶ εὐχόμενον κατ' αὐτῶν. καὶ τοὺς μὲν ἐρχομένους πρὸς αὐτὸν παρεθάρρυνεν· αὐτὸς δὲ ἠγωνίζετο κάμπτων τὰ γόνατα καὶ προσευχόμενος τῷ κυρίῳ. καὶ ἦν ἀληθῶς θαύματος ἄξιον, ὅτι μόνος ἐν τοιαύτῃ

ἐρήμῳ

* βλάπτετε. μηδενὸς

* κτύπων ὡς ὅπλων

mores, solicitè panem ipsi miserunt. Verùm ut vidit Antonius, eo quosdam prætextu fatigari illic, & laborem perferre: qui in hoc etiam genere monachis parceret, secum deliberavit. Quare à nonnullis, qui ad ipsum veniebant, petijt, sibi ut ligonem, bipennem & modicum frumenti adferrent. Quibus allatis, & campo circa mõtem peragrato; locum haud ita amplum, sed aptum invenit, quem coleret; in quem etiam, quod rigandi fons esset uberrimus, semina sparsit. Quo singulis annis facto; satis inde panis sibi suppetere lætabatur, nec cuiquam molestiæ quicquam exhiberi, neq; oneri se ulli in re ulla esse. Vbi autem rursũ quosdam venire vidit: etiam olerum paucorum semina terræ ibidem mandavit; ut parum se inde advena quicunq; posset reficere & recreare, difficultate itineris illius defatigatus. Ac primum quidẽ feræ in deserto potus gratia istuc ventitantes, quũ sationi & culturæ sæpius officerent: una illarum blandè apprehensa, dixit universis; Quid à nemine læsæ, me læditis? abite, in nomine Domini, nec jam hic ulli appropinquetis. Ex eo tempore, tanquam territæ mandato, nunquam propius accesserunt. Solus ergò in montis velut penetralibus precationi & asceticæ vacabat. Fratres verò, qui ei ministrabant, rogare ipsum, pateretur sibi unoquoq; mensis spacio ab adventuris afferri olivas, legumen & oleum; jam enim erat senex. Ibi itaq; versatus, quot certamina sustinuerit, secundum illud Scripturæ, Non adversus carnem & sanguinem, sed adversus dæmonas adversarios: ex ijs, qui ad ipsum sunt ingressi, cognovimus. Nam & illic tumultus, voces multas, & strepitum velut armorum audierunt; montemq; noctu bestiarum plenum viderunt. contemplati etiã ipsum tanquam adversus visibiles pugnantem atq; orantem. Ac venientium ad se animos erexit; ipse luctatus, flexis genibus Deo supplicavit. Eratq; verè admiratu dignum, cum in tali Ephes. 6, 12

eremo solum

eremo solum neq; dæmonum insultu territum, neque tot ibidem ferarum quadrupedum & serpentium immanitate perculsum: sed, ut Scriptura loquitur, omnino confisum in Domino, sicut mons Sion; animo tranquillo minimeq; perturbato fuisse: ut dæmones potiùs fugerint, & bestiæ (quemadmodum est scriptum) pacificæ ipsi fuerint. Proin diabolus, observato Antonio, dentes super eum (ut canit David) frenduit: Antonius autē p Servatorem, precatus, ab illius astutia & variis insidiis tutus esse potuit. Vigilanti ergò noctu Antonio bestias dæmon immisit: & propemodùm quotquot erant in solitudine illa hyenæ, è suis egressæ latibulis, medium ipsum circundederunt. Quæ quum hiatu oris morsum minarētur singulæ: techna hostis animadversa, dixit ad universas; Si qua vobis data est adversum me potestas; vorari à vobis sum paratus: sin à dæmonibus estis subornatæ; citra cunctationem hinc facessite, Christi enim servus sū. Quibus ab Antonio dictis; repentè istinc proripuerunt sese, verbo isto tanquam verbere fugatæ pulsæq;. Post dies non ita multos, quum labore (nam & hic ipsi curæ fuit) perfungeretur; adstans januæ quispiam, funiculum operæ trahebat. Sportas enī nexuit, quas iis dare est pro re quacunq; allata solitus, qui ipsum convenirent. Ut igitur surrexit; bestiam vidit, formâ humanâ ad femora usq;, crura & pedes, asinum. Ibi Antonius, notâ crucis duntaxat signans sese, Servus Christi sum, inquit; si missus adversum me es, en adsum. At bestia cum dæmonibus sic fugitavit, ut celeritate caderet ac moreretur. quæ illius mors, dæmonum ruina fuit; qui toti in eo fuerūt, ut eremo ipsum subducerent, nec quicquam valuerunt. Idem rogatus aliquando à monachis, ut descenderet ad se, & tam ipsos quàm loca inviseret aliquātisper: iter cū his ingressus est, camelo panes & aquā gestante. Eremus enim illa arida est tota, neq; ulla ibi aqua potui apta,

Psal. 124. 1. · Iob. 5, 23. · Psal. 34. 16

ἐρήμῳ ὤν, οὔτε δαιμόνων ἐφισταμένων ἐπτοεῖτο, οὔτε, πολλῶν ὄντων ἐκεῖ θηρίων τετραπόδων καὶ ἑρπετῶν, ἐφοβεῖτο τούτων τὴν ἀγριότητα· ἀλλ' ἀληθῶς, κατὰ τὸ γεγραμμένον, πεποιθὼς ἦν ἐπὶ κύριον ὡς ὄρος σιών, ἀσάλευτον ἔχων καὶ ἀκύμαντον τὸν νοῦν· ὥστε μᾶλλον τοὺς δαίμονας φεύγειν, καὶ τὰ θηρία τὰ ἄγρια, ὡς γέγραπται, εἰρηνεύειν πρὸς αὐτόν. ὁ μὲν οὖν διάβολος, ὡς ψάλλει Δαβίδ, παρετηρεῖτο τὸν ἀντώνιον, καὶ ἔτριζε κατ' αὐτοῦ τοὺς ὀδόντας· ὁ δὲ ἀντώνιος παρεκαλεῖτο παρὰ τοῦ σωτῆρος ἀβλαβὴς διαμένων ἀπὸ τῆς ἐκείνου πανουργίας, καὶ τῆς ποικίλης μεθοδείας. ἀγρυπνοῦντι τοίνυν αὐτῷ νυκτὸς, ἐπαφῆκε θηρία· καὶ σχεδὸν αἱ ἐν ἐκείνῃ τῇ ἐρήμῳ πᾶσαι ὕαιναι, ἐξελθοῦσαι τῶν φωλεῶν, περιεκύκλωσαν, καὶ μέσος ἦν αὐτός. χαινούσης δὲ, καὶ δάκνειν ἑκάστης ἀπειλούσης· συνεὶς τὴν τοῦ ἐχθροῦ τέχνην, εἶπε πάσαις αὐταῖς· εἰ μὲν ἐξουσίαν ἐλάβετε κατ' ἐμοῦ, ἕτοιμός εἰμι βρωθῆναι παρ' ὑμῶν· εἰ δὲ παρὰ δαιμόνων ὑπεβλήθητε, μὴ μέλλετε, ἀλλ' ἀναχωρεῖτε, χριστοῦ γὰρ δοῦλός εἰμι. ταῦτα τοῦ ἀντωνίου λέγοντος, ἔφυγον ἐκεῖναι, ὡς ὑπὸ μάστιγος τοῦ λόγου διωκόμεναι. εἶτα μεθ' ἡμέρας ὀλίγας, ὡς εἰργάζετο, ἔμελε γὰρ αὐτῷ καὶ κοπιᾷν· ἐπιστάς τις τῇ θύρᾳ, εἵλκε τὴν σειρὰν τοῦ ἔργου· σπυρίδας γὰρ ἔρραπτε, καὶ ταύτας τοῖς εἰσερχομένοις ἀντὶ τῶν κομιζομένων αὐτῷ ἐδίδου. ἀναστὰς δὲ, εἶδε θηρίον, ἀνθρώπου μὲν ἐοικὸς ἕως τῶν μηρῶν, τὰ δὲ σκέλη καὶ τοὺς πόδας ὁμοίους ἔχων ὄνῳ. καὶ ὁ μὲν ἀντώνιος μόνον ἑαυτὸν ἐσφράγισε, καὶ εἶπε· χριστοῦ δοῦλός εἰμι, εἰ ἀπεστάλης κατ' ἐμοῦ, ἰδοὺ πάρειμι. τὸ δὲ θηρίον σὺν τοῖς ἑαυτοῦ δαίμοσιν οὕτως ἔφυγεν, ὡς ὑπὸ τῆς ὀξύτητος πεσεῖν καὶ ἀποθανεῖν. ὁ δὲ τοῦ θηρίου θάνατος, πτῶμα τῶν δαιμόνων ἦν. πάντα γὰρ ἐσπούδαζον ποιεῖν, ἵνα καταγάγωσιν αὐτὸν ἐκ τῆς ἐρήμου, καὶ οὐκ ἴσχυσαν. ἀξιωθεὶς δέ ποτε παρὰ τῶν μοναχῶν κατελθεῖν πρὸς αὐτοὺς, καὶ ἐπισκέψασθαι διὰ χρόνου αὐτούς τε καὶ τοὺς τόπους· ὥδευσε σὺν τοῖς μοναχοῖς τοῖς ἀπαντήσασι. κάμηλος δὲ αὐτοῖς ἐβάσταζε τοὺς ἄρτους καὶ τὸ ὕδωρ. ἄνυδρος γὰρ ἔρημός ἐστιν ἐκείνη πᾶσα, καὶ οὐκ ἔστιν ὕδωρ

πότιμον ὅλως, εἰ μὴ ἐν ἐκείνῳ τῷ ὄρει μόνῳ* ὅθεν καὶ ὑδρεύονται, ἐν ᾧ καὶ τὸ μοναστήριόν ἐστιν αὐτοῦ. λείψαντος τοίνυν ὕδατος ἐν τῇ ὁδῷ, καὶ καύματος ὄντος σφοδροτάτου, πάντες ἔμελλον κινδυνεύειν· περιελθόντες γὰρ τοὺς τόπους, καὶ μὴ εὑρόντες ὕδωρ, οὐδὲ περιπατεῖν ἐδύναντο λοιπόν· ἀλλὰ κατέκειντο χαμαὶ· τήν τε κάμηλον ἀφῆκαν ἀπελθεῖν, ἀπογνόντες ἑαυτῶν. ὁ δὲ γέρων ὁρῶν πάντας κινδυνεύοντας, πάνυ λυπηθεὶς στενάξας· ὀλίγον ἀπ' αὐτῶν ἀπελθὼν, καὶ κλίνας τὰ γόνατα, καὶ τὰς χεῖρας ἐκτείνας, προσηύχετο· καὶ εὐθὺς ἐποίησεν ὁ κύριος ὕδωρ ἐξελθεῖν, ἔνθα προσευχόμενος εἱστήκει. καὶ οὕτω πιόντες οἱ πάντες, ἀνέπνευσαν· καὶ τοὺς ἀσκοὺς πλήσαντες, ἐζήτησαν τὴν κάμηλον, καὶ εὗρον. συνέβη γὰρ τὸ σχοινίον εἰς τινα λίθον* περιειληφθῆναι, καὶ οὕτω κατασχεθῆναι. ἀγαγόντες τοίνυν, καὶ ποτίσαντες, ἐπέθηκαν τοὺς ἀσκοὺς, καὶ διώδευσαν ἀβλαβεῖς. ὡς δὲ ἦλθεν εἰς τὰ ἔξω μοναστήρια, πάντες ὡς πατέρα βλέποντες κατησπάζοντο. καὶ αὐτὸς δὲ ὥσπερ ἐφόδια φέρων ἀπὸ τοῦ ὄρους, ἐξένιζεν αὐτοὺς τοῖς λόγοις, καὶ μετεδίδου τῆς ὠφελείας. πάλιν τε ἦν χαρὰ ἐν τοῖς ὄρεσι, καὶ ζῆλος προκοπῆς καὶ παράκλησις διὰ τῆς ἐν ἀλλήλοις πίστεως. ἔχαιρεν οὖν καὶ αὐτὸς, βλέπων τήν τε τῶν μοναχῶν προθυμίαν, καὶ τὴν ἀδελφὴν γηράσασαν ἐν παρθενίᾳ, καθηγουμένην τε καὶ αὐτὴν ἄλλων παρθένων. μεθ' ἡμέρας τινὰς, εἰσῆλθε πάλιν εἰς τὸ ὄρος. καὶ τότε λοιπὸν πολλοὶ πρὸς αὐτὸν εἰσήρχοντο· καὶ ἄλλοι πάσχοντες, ἐτόλμησαν εἰσελθεῖν. πρὸς μὲν οὖν πάντας τοὺς εἰσερχομένους πρὸς αὐτὸν μοναχοὺς, τοῦτο συνεχῶς εἶχε τὸ παράγγελμα, πιστεύειν εἰς τὸν κύριον, καὶ ἀγαπᾶν αὐτὸν· φυλάττειν τε ἑαυτοὺς ἀπὸ ῥυπαρῶν λογισμῶν καὶ σαρκικῶν ἡδονῶν. καὶ, ὡς ἐν ταῖς παροιμίαις γέγραπται, μὴ ἀπατᾶσθαι χορτασίᾳ κοιλίας. φεύγειν τε κενοδοξίαν, καὶ εὔχεσθαι συνεχῶς· ψάλλειν τε πρὸ ὕπνου καὶ μεθ' ὕπνον. καὶ ἀποστηθίζειν τὰ ἐν ταῖς γραφαῖς παραγγέλματα, καὶ μνημονεύειν τῶν πράξεων τῶν ἁγίων, πρὸς τὸ τῷ ζήλῳ τούτων ῥυθμίζεσθαι τὴν ψυχὴν ὑπομιμνησκομένην ἐκ τῶν ἐντολῶν. μάλιστα δὲ συνεβούλευε, τὸ τοῦ ἀποστόλου ῥητὸν συνεχῶς

* περιειληφθῆναι.

tui apta, nisi in monte illo solo, unde aqvam hauserunt, & ubi ejus est monasterium. Tandē ob aqvæ penuriā, & æstus vehemētiam, periclitari omnes. Obeundo nanq; loca, neq; aquam inveniendo; vires ambulandi amiserunt, humi jacuerunt, speq; omni abjecta camelum qvo qvo abire passi sunt. Quo senex omnium periculo prorsum contristatus, ingemuit; & parumper ab illis digressus, flexis genibus & manibus extētis orabat. Dominusq; illinc statim aqva ut erumperet, effecit, ubi supplicavit. Cumq; biberent omnes, se seq; colligerent: utribus impletis; Camelum etiā qvæsitum inveniūt. Casu enim funis [qvo ducebatur] lapide involutus eum detinuit. Ducto itaq; [rursus secum] potuq; ipsi ministrato, utres imposuerunt, iterq; citra detrimentum cōfecerunt. Vt verò ad extera venit monasteria; omnes tanquam patrem conspicati amplexari ac osculari: illos ipse xenijs veluti de monte, doctrinæ beneficijs ornare, commodorumq; participes facere. Gaudium in montibus iteratum, æmulatio progressionis ad pietatem, cohortatio per fidem mutuam facta. Lætabatur & ipse, visâ monachorū alacritate, sorore in virginitatis studio consenescente, atq; aliarum virginum antistitâ. Elapso dierum qvodam intervallo, ad mōtem [unde profectus] redit. Tum multi ad ipsum venire, ausi etiam ij, qvi affligebantur. Quot quot ergo ipsum convenerunt monachi, ijs hoc subinde præceptū tradidit. In Dominum ut crederent, eumq; diligerent; custodirent se se à cogitationibus sordidis, carnisq; delicijs; neq; (ut libro Proverbiorum scriptum est) ventris pabulo deciperentur: inanis gloriæ studium fugerent; continenter orarent; ante & post somnum psallerent; mandata scripturæ animo recondita expromerent atq; eloquerentur; actiones sanctorum in memoriam revocarent; ut animus, præceptis admonitus, ad illorum zelum se se conformaret. In primis autem dictum illud Pauli absq; inter-

Proverb. 24, 15.

Ephes. 4, 26.

mißione meditari jußit; Sol non occidat super iracundiã vestrã. Quod communiter de qvolibet, inquit, præcepto pronunciari existimandum est; ne super iracundia tantum, sed super alio etiam peccato qvovis, Sol occidat. Pulchrum nanq; & necessarium, [cavere] ne vel diurni vitij Sol, vel nocturni peccati, aut omnino cogitati, Luna nos condemnet. Vt igitur hîc qvoq; pul-
2.Cor. 13, 5. chritudinis ratio habeatur: pulchrum audire apostolũ attentè, qui ait, Ipsi vos dijudicate, Ipsi vos probate. Singulis ergo diebus diurnarum & nocturnarum actionum rationem à se quisq; reposcat: &, si peccarit, desinat; sin minus, ne glorietur; sed in bono perseveret, nec qvicquam remittat; neq; alterum condemnet, neq; se ipsum justificet, ut beatus inquit apostolus Paulus,
1. Cor. 4, 5. Rom. 2, 16. donec venerit Dominus, qui occulta scrutatur. In nostris enim actionibus sæpe ipsi fallimur; eáque ignoramus nos admisisse, qvæ Deus novit omnia. Iudicio itaq; illi permisso, alter alterius afflictionibus afficiatur; alterq; alterius onera qvidẽ
Galat. 6, 2. portet, sed se ipsum quisque nostrum dijudicando, qvicqvid desit, id supplere studiosè nitatur. Ad cavenda peccata hoc etiam observetur: Vnusqvisque actiones animiq; affectiones, tãquam alij munciaturus, notet conscribatq;: nec dubium, qvin pudore ac metu ne patefiat, non à peccato solùm, verùm & à pravis cogitationibus sibi prorsus caverit. Cur enim peccando velit damnum sibi accersere? aut qvis, perpetratâ culpâ, latère volens, nõ magis se ipsum fallit? Quemadmodum igitur in aliorum conspectu non scortabimur: ita alijs alij nunciaturi, cogitata, à se in chartam conjecta, ab illorum sordibus magis se se custodient, patefactionis pudore. Scriptio proinde & annotatio isthæc sit instar nobis oculorum, qvos in nos synascetæ defigant: ut erubescentes scribere tanquam cernenda, prava ne cogitemus quidẽ.
1. Cor. 9, 27. Sic ipsi nos conformaturi, corpus in servitutem redigere poterimus, pla-

μελετᾶν· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. καὶ τοῦτο κοινῶς περὶ πάσης ἐντολῆς εἰρῆσθαι νομίζειν, ἵνα μὴ ἐπὶ μόνῳ παροργισμῷ, ἀλλὰ μηδὲ ἐπὶ ἄλλῃ ἁμαρτίᾳ ἡμῶν, ὁ ἥλιος ἐπιδύῃ. καλὸν γὰρ καὶ ἀναγκαῖον, μήτε τὸν ἥλιον περὶ ἡμερινῆς κακίας, μήτε τὴν σελήνην περὶ νυκτερινῆς ἁμαρτίας, ἢ ὅλως ἐνθυμήσεως, καταγινώσκειν ἡμῶν. ἵν' οὖν ἐν τούτῳ ἡμῖν τὸ καλὸν περισώζηται, καλὸν ἀκοῦσαι τοῦ ἀποστόλου καὶ φυλάξαι, φησὶ γὰρ· ἑαυτοὺς ἀνακρίνετε, καὶ ἑαυτοὺς δοκιμάζετε. καθ' ἡμέραν τοίνυν τῶν ἡμερινῶν καὶ τῶν νυκτερινῶν πράξεων τὸν λόγον, ἕκαστος παρ' ἑαυτοῦ λαμβανέτω· καὶ εἰ μὲν ἥμαρτεν, παυέσθω· εἰ δὲ μὴ ἥμαρτεν, μὴ καυχάσθω· ἀλλ' ἐπιμενέτω τῷ καλῷ, καὶ μὴ ἀμελείτω, μηδὲ κατακρινέτω τὸν πλησίον, μηδὲ δικαιούτω ἑαυτόν, ὡς εἶπεν ὁ μακάριος ἀπόστολος παῦλος, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὁ τὰ κρυπτὰ ἐρευνῶν. πολλάκις γὰρ καὶ ἑαυτοὺς ἐν οἷς πράττομεν λανθανόμεθα· καὶ ἡμεῖς μὲν οὐκ οἴδαμεν, ὁ δὲ κύριος καταλαμβάνει πάντα. αὐτῷ οὖν τὸ κρίμα διδόντες, ἀλλήλοις συμπάσχωμεν· καὶ ἀλλήλων μὲν τὰ βάρη βαστάζωμεν, ἑαυτοὺς δὲ ἀνακρίνωμεν, καὶ ἃ ὑστερούμεθα, ἀναπληροῦν σπουδάζωμεν. ἔστω δὲ καὶ αὕτη πρὸς ἀσφάλειαν τοῦ μὴ ἁμαρτάνειν παρατήρησις· ἕκαστος τὰς πράξεις καὶ τὰ κινήματα τῆς ψυχῆς ὡς μέλλοντες ἀλλήλοις ἀπαγγέλλειν, σημειώμεθα καὶ γράφωμεν. καὶ θαρρεῖτε ὅτι πάντως αἰσχυνόμενοι γνωσθῆναι, παυσόμεθα τοῦ ἁμαρτάνειν. καὶ ὅλως τοῦ ἐνθυμεῖσθαί τι φαῦλον. τί γὰρ ἁμαρτάνων θέλει βλέπεσθαι; ἢ τίς ἁμαρτήσας, οὐ μᾶλλον ψεύδεται, λανθάνειν θέλων. ὥσπερ οὖν βλέποντες ἀλλήλους, οὐκ ἂν πορνεύσαιμεν· οὕτως ἐὰν ἀπαγγέλλοντες ἀλλήλοις τοὺς λογισμοὺς γράφωμεν, μᾶλλον τηρήσομεν ἑαυτοὺς ἀπὸ λογισμῶν ῥυπαρῶν, αἰσχυνόμενοι γνωσθῆναι. ἔστω οὖν ἡμῖν τὸ γράμμα, ἀντὶ ὀφθαλμῶν τῶν συνασκητῶν· ἵνα ἐρυθριῶντες γράφειν ὡς τὸ βλέπεσθαι, μηδ' ὅλως ἐνθυμηθῶμεν τὰ φαῦλα. οὕτω δὲ τυποῦντες ἑαυτούς, δυνησόμεθα δουλα-

γωγεῖν τὸ σῶμα· καὶ ἀρέσκειν μὲν τῷ κυρίῳ, πατεῖν δὲ τὰς τοῦ ἐχθροῦ μεθοδείας. ταῦτα μὲν τοῖς ἀπαντῶσι παρήγγελλε. τοῖς δὲ πάσχουσι συνέπασχε καὶ συνηύχετο· πολλάκις τε καὶ ἐν πολλοῖς ὁ κύριος ἐπήκουεν αὐτοῦ. καὶ οὔτε ἐπακουόμενος ἐκαυχᾶτο, οὔτε μὴ ἐπακουόμενος ἐγόγγυζεν: ἀλλ᾽ ἀεὶ μὲν αὐτὸς ηὐχαρίστει τῷ κυρίῳ· τοὺς δὲ πάσχοντας παρεκάλει μακροθυμεῖν, καὶ εἰδέναι, ὅτι οὔτε αὐτοῦ, οὔθ᾽ ὅλως ἀνθρώπων ἐστὶν ἡ θεραπεία ἀλλὰ μόνου τοῦ θεοῦ τοῦ ποιοῦντος ὅτε θέλει καὶ οἷς βούλεται. οἱ οὖν πάσχοντες ὡς θεραπείαν ἐδέχοντο. καὶ τοὺς λόγους τοῦ γέροντος μανθάνοντες, καὶ αὐτοὶ μὴ ὀλιγωρεῖν, μακροθυμεῖν δὲ μᾶλλον. καὶ οἱ θεραπευόμενοι δὲ ἐδιδάσκοντο μὴ τῷ ἀντωνίῳ εὐχαριστεῖν: ἀλλὰ τῷ θεῷ μόνῳ. εἷς γοῦν Φρόντων καλούμενος, ἀπὸ παλατίου τυγχάνων, καὶ πάθος ἔχων δεινόν, τὴν τε γὰρ γλῶτταν ἑαυτοῦ κατήσθιε, καὶ τοὺς ὀφθαλμοὺς ἔμελλε βλάπτεσθαι. εἰσελθὼν εἰς τὸ ὄρος, ἠξίου τὸν ἀντώνιον εὔξασθαι περὶ αὐτοῦ. ὁ δὲ εὐξάμενος ἔλεγε τῷ Φρόντωνι· ἄπελθε καὶ θεραπεύσῃ. τοῦ δὲ βιαζομένου, καὶ μείναντος ἔνδον ἡμέρας, ἐπέμενε λέγων ὁ ἀντώνιος· οὐ δυνήσῃ μένων ὧδε θεραπευθῆναι. ἔξελθε, καὶ φθάσας εἰς τὴν αἴγυπτον, ὄψει τὸ γινόμενον εἰς σὲ σημεῖον. πιστεύσας ἐκεῖνος, ἐξῆλθε· καὶ ὡς μόνον εἶδε τὴν αἴγυπτον, πέπαυται τοῦ πάθους, καὶ γέγονεν ὑγιὴς ὁ ἄνθρωπος κατὰ τὸν λόγον ἀντωνίου, ὃν εὐξάμενος ἔμαθε παρὰ τοῦ σωτῆρος. παρθένος δέ τις ἀπὸ Βουσίρεως τῆς τριπόλεως πάθος εἶχε δεινὸν καὶ λίαν αἰσχρόν. τά τε γὰρ δάκρυα αὐτῆς, καὶ αἱ μύξαι, καὶ τὰ ἐκ τῶν ὤτων ὑγρὰ πίπτοντα χαμαί, σκώληκες εὐθὺς ἐγίνοντο. ἦν δὲ καὶ τὸ σῶμα παραλελυμένη, καὶ τοὺς ὀφθαλμοὺς εἶχεν οὐ κατὰ φύσιν. ταύτης οἱ γονεῖς μαθόντες ἀπερχομένους πρὸς τὸν ἀντώνιον μοναχούς, πιστεύσαντες τῷ κυρίῳ τῷ τὴν αἱμόρροουν θεραπεύσαντι, ἠξίωσαν μετὰ τῆς θυγατρὸς συνοδεῦσαι τούτοις. τῶν δὲ ἀνασχομένων: οἱ μὲν γονεῖς, ἔμειναν μετὰ τῆς παιδὸς ἔξω τοῦ ὄρους, παρὰ παφνουτίῳ τῷ ὁμολογητῇ καὶ μοναχῷ:

οἱ δὲ

rimus, placere Domino, & insidias inimici calcare. Hæc Antonius præcepta ijs qui ipsum convenere tradidit. Afflictorum vicem doluit, unà cum ipsis oravit, in multis non raro à Domino exauditus: neque ob hoc gloriabatur, neque ob repulsã aliquam murmuratione utebatur: sed semper, actis Domino gratijs, patientiæ autor afflictis fuit; jussitq; nosse, neque à se, neque ab ullo prorsus homine medicinam proficisci: sed à solo Deo, qui medeatur quando velit [quibuscunq;] quantumq; libeat. Malis itaq; pressi, hoc tanquam remedio adjuti, cognitis Antonij sermonibus, non aspernari hos, sed tolerãtius ferre quævis: liberati verò ac sanati, didicerunt non homini, sed soli Deo gratias agendas esse. Veluti Fronto, quidam de palatio, gravi quodam morbo tentabatur, linguam ipse sibi morsu laniebat, oculis etiã nociturus. Is progressus ad montem, Antonium pro se ut oraret rogavit. Hic, precibus functus, Frontonẽ jubet abire, ipsum nãq; valetudini restitutum iri. Renitenti, & dies aliquot ibidem cõmoranti, denuò inquit; mansurus hic, convalescere non poteris. verùm hinc egressus, in Aegyptum ubi perveneris, signum in te editum videbis. Fidem habuit, recessitq; & intuitus duntaxat Aegyptũ affectu illo liberatur; valetudine recuperata secundũ id verbum, quod Antonius pro ipso deprecans à Servatore didicit. Virgo quædam è Busiri Tripolitana vitio laborabat corporis gravi ac turpi. Nam & lachrymæ ejus, & mucus, & aurium humor in terram delapsus, vermes fiebant; corpore item erat paralytico, & oculos habebat contrà quàm natura fert. Hujus parentes postquam cognoverunt, monachos quosdam ad Antonium ituros, fideq; à Domino penderunt, qui sanguinis fluxu infectam sanavit: rogarunt illos, ut se se cum filiã itineris comites admitterent. Quibus annuentibus, parentes & nata extra montem apud Paphnutium confessorem ac monachum substiterunt,

Matth. 9, 20

stiterunt illi ad Antonium ingressi vix de virgine inceptant narrare;ibi antevertere ipse,recitare ejusdem infirmitatem,& quomodo itineris socia fuerit.Inde quum rogarent ut iis quoq; accedendi ad se potestatem faceret:non permisit; sed, abite (inquit) &, nisi mortua sit, curatam invenietis. Neq; enim id præstare, mearum est virium ; ut hoc nomine miserum me conveniant:sed Servatoris est illa curatio,nullo non in loco miserentis eorum qui ipsum invocāt. Quare & illius infirmæ precibus Dominus annuit, mihiq; pro sua humanitate ostendit, illic morbū ejus se curaturum: quod miraculosè etiam factum est. Egressi nanque,parentes offenderunt lætos, & filiam valetudine integra. Cum duo fratres idem iter ingrederentur, & ob aquæ penuriam alter mortuus, alter moriturus esset; neque enim hic ambulare jam poterat,sed humi cubans animam agebat: Antonius, sedens in monte, accersitis duobus monachis,qui casu tum aderant, dixit urgens; Lagenam aqua repletam sumite, & festinanter viam quæ in Aegyptum ducit capessite: unus enim è duobus huc tendentibus è vita excessit;migraturus & alter,nisi properaveritis.id siquidem oranti mihi patefactum est. Eò progressi monachi, alterius cadaver humarunt; alterum aqua refectum seni adduxerunt: unius nanque diei erat intervallum. Quod si quæras,cur non ante alterius obitum id Antonius mādarit?injuriam illi facis. mortis enim judicium non ipsius, sed Dei fuit: qui hoc in illum decreverat, de altero revelārat. Id verò in Antonio solum admiratione dignum, sedisse in monte ipsum, animo vigili, ac corde sobrio, & Dominum ea quæ eminus fierent ei ostendisse. Nam quum aliquando rursum ibidem sederet;sublatis oculis, vidit quendam sublime ferri, & ingens eorum gaudium, qui obviam irent, esse. Miratus, ejusce modi chorum prædicavit beatum;& quid sibi vellet,scire exoptavit.

Socrat. Eccl. hist.l,4.c.23.

Ibi vox

οἱ δὲ εἰσῆλθον. καὶ μόνον ὡς ἠθέλησαν ἀπαγγεῖλαι περὶ τῆς παρθένου, ἔφθασεν αὐτῶν αὐτός· καὶ διηγήσατο τί τε πάθος τῆς παιδὸς, καὶ πῶς συνώδευσαν αὐτοῖς. εἶτα τούτων ἀξιούντων ἐπιτραπῆναι κἀκείνους εἰσελθεῖν: τοῦτο μὲν οὐκ ἐπέτρεψεν· εἶπε δὲ, ὑπάγετε καὶ εὑρήσετε αὐτὴν, εἰ μὴ ἀπέθανε, τεθεραπευμένην. οὐ γάρ ἐμόν ἐστι τοῦτο κατόρθωμα, ἵνα καὶ πρὸς ἐμὲ τὸν οἰκτρὸν ἄνθρωπον ἔλθῃ· ἀλλὰ τοῦ σωτῆρος ἐστὶν ἡ θεραπεία, τοῦ ποιοῦντος ἐν παντὶ τόπῳ τὸ ἔλεος αὐτοῦ τοῖς ἐπικαλουμένοις αὐτόν. κἀκείνῃ τοίνυν ὁ κύριος ἐπένευσεν εὐξαμένῃ, κἀμοὶ δεδήλωκεν ἡ αὐτοῦ φιλανθρωπία, ὅτι τὸ πάθος ἐκεῖ οὔσης τῆς παιδὸς θεραπεύσει. γέγονε γοῦν τὸ θαῦμα, καὶ ἐξελθόντες, εὗρον τοὺς γονεῖς χαίροντας, καὶ τὴν παῖδα λοιπὸν ὑγιαίνουσαν. εἰσερχομένων δὲ δύο ἀδελφῶν τινῶν, καὶ λείψαντος ἐν τῇ ὁδῷ τοῦ ὕδατος, ὁ μὲν εἷς ἀπέθανεν, ὁ δὲ ἕτερος ἔμελλε. μηκέτι γοῦν ἰσχύων ὁδεύειν, ἔκειτο καὶ αὐτὸς ἐπὶ τῆς γῆς τεθνήξεσθαι προσδοκῶν. ὁ δὲ ἀντώνιος καθήμενος ἐν τῷ ὄρει, φωνήσας δύο μοναχοὺς, συνέβη γὰρ ἐκεῖ τούτους εἶναι, *ἔπειγε λέγων: λάβετε κεράμιον ὕδατος, καὶ δράμετε τὴν ἐπ' αἴγυπτον ὁδόν. δύο γὰρ ἐρχομένων, ὁ μὲν εἷς ἄρτι τετελεύτηκεν: ὁ δὲ ἕτερος μέλλει, ἐὰν μὴ σπεύσητε. τοῦτο γὰρ εὐχομένῳ μοι πεφανέρωται. ἐλθόντες τοίνυν οἱ μοναχοὶ, εὗρον τὸν μὲν κείμενον νεκρὸν καὶ ἔθαψαν· τὸν δὲ ἕτερον ἀνεκτήσαντο τῷ ὕδατι, καὶ ἀπήγαγον πρὸς τὸν γέροντα. ἦν γὰρ τὸ διάστημα ἡμέρας ὁδός. ἐὰν δέ τις ζητήσῃ, διὰ τί μὴ πρὸ τοῦ τελευτῆσαι τὸν ἄλλον οὐκ εἴρηκεν; οὐκ ὀρθῶς ζητεῖ τοῦτο λέγων. οὐ γὰρ ἦν ἀντωνίου τὸ τοῦ θανάτου κρίμα, ἀλλὰ τοῦ θεοῦ: τοῦ καὶ περὶ ἐκείνου κρίναντος, καὶ περὶ τούτου ἀποκαλύψαντος. μόνον δὲ ἀντωνίου τοῦτο θαῦμα ἦν, ὅτι ἐν τῷ ὄρει καθήμενος, εἶχε τὴν μὲν καρδίαν νήφουσαν, τὸν δὲ κύριον δεικνύοντα αὐτῷ τὰ μακρά. καὶ γάρ ποτε πάλιν καθήμενος ἐν τῷ ὄρει καὶ ἀναβλέψας, εἶδεν ἐν τῷ ὄρει ἀναγόμενόν τινα, πολλήν τε τῶν ἀπαντώντων γινομένην τὴν χαράν. εἶτα θαυμάζων καὶ μακαρίζων τὸν τοιοῦτον χορὸν, ηὔχετο μαθεῖν τίς ἂν εἴη

* ἤπειγε

* Ἀμμοῦν

τοῦτο. καὶ εὐθὺς ἦλθεν αὐτῷ φωνή· ταύτην εἶναι τοῦ * ἀμοῦν τὴν ψυχήν, τοῦ ἐν τῇ νιτρίᾳ μοναχοῦ. ἦν δὲ οὗτος ἀσκητὴς ἕως γήρους διαμείνας. καὶ τὸ διάστημα δὲ τὸ ἀπὸ νιτρίας, ἕως τοῦ ὄρους ἔνθα ἦν ὁ ἀντώνιος, ἡμερῶν ἐστὶ δεκατριῶν. Οἱ τοίνυν ὄντες μετὰ ἀντωνίου, βλέποντες τὸν γέροντα θαυμάζοντα, ἠξίωσαν μαθεῖν. καὶ ἤκουσαν, ὅτι ἄρτι τετελεύτηκεν ὁ ἀμοῦν. ἦν γὰρ γνώριμος, διὰ τὸ πυκνότερον αὐτὸν ἐκεῖ παραγίνεσθαι, καὶ πολλὰ καὶ δι' αὐτοῦ σημεῖα γεγενῆσθαι. ἐξ ὧν ἕν ἐστι τοῦτο. ποτὲ χρείας γενομένης παρελθεῖν αὐτὸν τὸν ποταμὸν τὸν λεγόμενον λύκον, ἦν δὲ τοῦτο πλημμύρα τῶν ὑδάτων: ἠξίωσε τὸν σὺν αὐτῷ θεόδωρον μακρὰν ἀπ' αὐτοῦ γενέσθαι· ἵνα μὴ ἀλλήλους ἴδωσι γυμνούς, ἐν τῷ διανήχεσθαι τὸ ὕδωρ. εἶτα ἀπελθόντος τοῦ θεοδώρου, ᾐσχύνετο πάλιν καὶ ἑαυτὸν ἰδεῖν γυμνόν. ἕως τοίνυν ᾐσχύνετο, καὶ ἐφρόντιζεν, ἐξαίφνης ἀπηνέχθη εἰς τὸ πέραν. ὁ οὖν Θεόδωρος, ἀνὴρ καὶ αὐτὸς εὐλαβής, ἐγγίσας καὶ ἑωρακὼς αὐτὸν προλαβόντα, καὶ μηδ' ὅλως βραχέντα ὕδατι, ἠξίου μαθεῖν τὸν τρόπον τοῦ περάματος. ὡς δὲ ἑώρα μὴ θέλοντα εἰπεῖν αὐτόν: διϊσχυρίζετο, κατέχων αὐτοῦ τοὺς πόδας, μὴ πρότερον ἐξαφεῖναι, πρὶν ἂν μάθῃ παρ' αὐτοῦ. βλέπων τοιγαροῦν ὁ ἀμοῦν τὸ φιλόνεικον τοῦ θεοδώρου, μάλιστα καὶ διὰ τὸν λόγον, ὃν εἶπεν, ἀπήτησε καὶ αὐτὸς, μηδενὶ λέγειν αὐτὸν ἕως θανάτου αὐτοῦ· καὶ οὕτως ἀπήγγειλε, βεβαστάχθαι καὶ τεθεῖσθαι αὐτὸν εἰς τὸ πέραν: μήτε δὲ περιπεπατηκέναι εἰς τὸ ὕδωρ, μήθ' ὅλως εἶναι τοῦτο δυνατὸν ἀνθρώποις, εἰ μὴ μόνῳ τῷ κυρίῳ, καὶ οἷς ἂν αὐτὸς ἐπιτρέψῃ, ὡς τῷ μεγάλῳ ἀποστόλῳ πέτρῳ πεποίηκεν. ὁ μὲν οὖν θεόδωρος μετὰ θάνατον τοῦ ἀμοῦν, διηγήσατο τοῦτο. οἱ δὲ μοναχοὶ οἷς εἶπεν ἀντώνιος περὶ τοῦ θανάτου τοῦ ἀμοῦν, ἐσημειώσαντο τὴν ἡμέραν. καὶ ἀνελθόντων ἀδελφῶν ἀπὸ τῆς νιτρίας μετὰ τριάκοντα ἡμέρας, ἐπύθοντο, καὶ ἔγνωσαν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ τῇ ὥρᾳ κεκοιμῆσθαι τὸν ἀμοῦν, ἐν ᾗ τὴν ψυχὴν εἶδεν ἀναφερομένην ὁ γέρων αὐτοῦ. καὶ πάνυ καὶ οὗτοι κἀκεῖνοι τὸ καθαρὸν τῆς ψυχῆς ἐθαύμαζον ἀντωνίου, πῶς τὸ ἀπὸ διαστήματος ἡμερῶν δεκατριῶν γενόμενον, παρ' αὐτὰ μεμάθηκε, καὶ τὴν ψυχὴν εἶδεν ἀναγομέ-

Ibi vox ad aures illius continuò accidit; Animam esse hanc Ammi Nitriæ monachi. perseuerabat autem hic in ascetica vita ad senectutem usq; & ab illo loco ad Antonij montem erat spacium itineris dierum tredecim. Qui ergo Antonium senem admiratione affici videbant, causam ejus scire voluerunt. Qvibus ille, Ammum modò vitam finijsse. Erat enim notus ac familiaris, ob freqventem eòdem accessum, & ob signa multa qvæ ediderat. qvorum unum etiam hoc. Cum trajiciendus ipsi esset Lycus fluvius, propter aquæ inundationem, à Theodoro tum præsente ut longius recederet petijt, ne aqvam tranando alter alterum cerneret nudum. Digredi ille: verùm & ipse nudum se aspicere dum erubescit, eoq; nomine solicitus; subito in ripā alterā transfertur. Theodorus itaq; vir & is pius, ut reversus vidit Ammū antevertisse, neq; prorsus aqvâ madidum: trajectus modum expiscatur. Quē dicere cum renueret: prehensis ejus pedibus, asseveranter negat se prius dimissurum ipsum, quàm de illo fiat certior. Ammus partim propter Theodori contentionem, partim qvoq; propter asseverationem, vicissim ab hoc postulat, ne cuiquam ante ipsius mortem narret, remq; aperit: Gestatum se ac translatum esse in ripam illam alteram. Neq; verò in aqvis se ambulasse, neq; hoc virium esse humanarum; sed solius potentiæ divinæ, & qvibus id Dominus permittat: qvale qvid magno illi apostolo Petro sit factum. Match. 14, 28. *Theodorus igitur post Ammi obitum hoc demum retulit. Monachi verò, qvibus Antonius de ejusdem dixit morte, diem notarunt. Qvo fratres, è Nitriæ monte tridormijsse Ammum, qvâ ejus animam senex sursum ferri videginta dies pòst profecti, audito; cognoverunt, eo die eaq; hora obrit: atq; omnino ex utraq; parte puritatem mentis in Antonio sunt admirati, qvi tot dierum intervallo qvod acciderit, statim cognorit, animam subvehi*

conspicatus. Archelaus etiam comes, invento ipso in monte exteriore solo, atq; orante; pro Polycratia, virgine Laodiceæ pia & admiranda, illi supplicavit. Infestabatur enim hæc graviter ventriculi doloribus & pleuritide, eratq; toto corpore infirma, propter nimium asceticæ studium. Precante itaq; Antonio, diem comes observavit, qvo precationi Antonius vacavit. Laodiceam reversus, virginem invenit sanam. Sciscitatur qvãdo, qvó ve die morbo esset levata? promit chartam, in qva tempus precum notarat; illo ex ipsis cognito, chartæ scripturam mox exhibet: ibi omnes agnoscere, tum liberatam à Domino eam fuisse doloribus, qvum oraret Antonius atq; obsecraret Servatorem benignus ei ut esset. Sæpe quoq; numero, qvi venturi ad se essent, aliqvot dies antè prædixit; qvin mensem antè, nõnunquam, causamq; adventus. Qvidam enim non nisi videndi ejus gratia venerunt, qvidam propter infirmitates, alij & à dæmonibus agitati. nec cuiquam fatigatio ex itinere molesta aut noxia fuit. Percepta nanq; utilitate, domũ quisq; suam repetijt. Quibus dictis, factis; noluit quenquam eo nomine ipsum pluris facere; sed Deum admirari potiùs, cujus cognitio hominibus pro virili, ex gratia impertiretur. Iterum digressus aliqvando ad monasteria exteriora, rogatusq; ut in navem conscenderet, simul cum monachis oraturus; solus fœtorem eumq; permolestum sensit. Cumq; vectores dicerent, piscem & salsamentum in navi esse, atq; inde fœdum istum odorem; negare ille, atq; alium quendam, asseverare. Ipso ergo adhuc loquẽte, adolescẽs qvispiã à dæmone obsessus, qui priùs conscenderat navẽ, in eaq; latuerat, illicò exclamavit. Verùm dæmon, in nomine Domini nostri Iesu Christi increpatus, exijt, ac homo ille fuit sanatus; omnesq; fœtorẽ illũ dæmonis extitisse, agnoverũt. Alius etiam qvispiam ad Antoniũ venit homo illustris, dæmoniacus,

ita

ἀναγομένην. καὶ μὴν καὶ Ἀρχέλαος ποτὲ ὁ κόμης εὑρὼν αὐτὸν ἐν τῷ ὄρει τῷ ἔξω προσεύξασθαι μόνον, αὐτὸν ἠξίωσε περὶ Πολυκρατείας τῆς ἐν Λαοδικείᾳ θαυμαστῆς καὶ χριστοφόρου παρθένου. ἔπασχε γὰρ ἐκείνη δεινῶς τὸν στόμαχον καὶ τὸ πλευρὸν, ἀπὸ τῆς ἄγαν ἀσκήσεως, καὶ ὅλη ἦν ἀσθενὴς τῷ σώματι. ὁ μὲν οὖν Ἀντώνιος ηὔχετο: ὁ δὲ κόμης ἐσημειώσατο τὴν ἡμέραν, ἐν ᾗ γέγονεν ἡ εὐχή· καὶ ἀπελθὼν εἰς τὴν Λαοδίκειαν, εὗρον ὑγιῆ τὴν παρθένον. πυνθανόμενος δὲ, πότε καὶ ποίᾳ ἡμέρᾳ πέπαυται τῆς ἀσθενείας; προήνεγκε τὸν χάρτην, ἐν ᾧ τὸν χρόνον τῆς εὐχῆς ἔγραψε· καὶ μαθὼν, ἔδειξε καὶ αὐτὸς εὐθὺς τὴν ἐν τῷ χάρτῃ γραφήν· καὶ πάντες, ὅτι τότε πέπαυκεν αὐτὴν ὁ κύριος τῶν πόνων, ὅτε ἦν εὐχόμενος Ἀντώνιος, καὶ παρακαλῶν τὴν ἀγαθότητα τοῦ σωτῆρος περὶ αὐτῆς. καὶ περὶ τῶν ἐρχομένων δὲ πρὸς αὐτὸν, πολλάκις προέλεγε πρὸ ἡμερῶν. ἦν δὲ ὅτε καὶ πρὸ μηνὸς, καὶ τὴν αἰτίαν, δι' ἣν ἤρχοντο. οἱ μὲν γὰρ ἕνεκα τοῦ μόνον ἰδεῖν αὐτὸν ἤρχοντο, οἱ δὲ δι' ἀσθένειαν, καὶ ἄλλοι πάσχοντες ὑπὸ δαιμόνων. καὶ πάντες οὐ σκυλμὸν οὐδὲ ζημίαν ἡγοῦντο τὸν κόπον τῆς ὁδοῦ. ἀνέκαμπτε γὰρ ἕκαστος αἰσθόμενος τῆς ὠφελείας. τοιαῦτα δὲ λέγων καὶ βλέπων, ἠξίου μηδένα θαυμάζειν αὐτὸν ἐν τούτῳ· ἀλλὰ μᾶλλον θαυμάζειν τὸν κύριον, ὅτι ἀνθρώποις ἡμῖν οὖσι ἐχαρίσατο κατὰ δύναμιν γινώσκειν αὐτόν. κατελθὼν δέ ποτε πάλιν εἰς τὰ ἔξω μοναστήρια, καὶ ἀξιωθεὶς εἰς πλοῖον εἰσελθεῖν, καὶ εὔξασθαι μετὰ μοναχῶν· μόνος αὐτὸς ἀντελάβετο δεινῆς δυσωδίας καὶ πάνυ πικρᾶς. τῶν δὲ ἐν τῷ πλοίῳ λεγόντων, ἰχθῦν εἶναι καὶ τάριχον ἐν τῷ πλοίῳ, καὶ τούτων εἶναι τὴν ὀσμήν: αὐτὸς ἄλλην ἔλεγεν εἶναι τὴν δυσωδίαν. ἔτι δὲ αὐτοῦ λέγοντος, νεώτερός τις ἔχων δαίμονα, ὃς προεισελθὼν ἐκρύπτετο ἐν τῷ πλοίῳ, εὐθὺς ἀνέκραξεν. ἐπιτιμηθεὶς δὲ ὁ δαίμων ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξῆλθε. καὶ ὁ μὲν ἄνθρωπος γέγονεν ὑγιής: πάντες δὲ ἔγνωσαν, ὅτι τοῦ δαίμονος ἦν ἡ δυσωδία. καὶ ἄλλος δέ τις τῶν ἐπιφανῶν, ἦλθεν ἔχων δαίμονα πρὸς αὐτόν· ἦν δὲ ὁ

δαίμων ἐκεῖνος οὕτω δεινὸς, ὡς τὸν ἐνεργούμενον μὴ γινώσκειν εἰ πρὸς ἀντώνιον ἤει: ἀλλὰ καὶ τοῦ σώματος αὐτοῦ τὰ περιττὰ κατήσθιεν. οἱ μὲν οὖν ἀγαγόντες αὐτὸν, παρεκάλουν τὸν ἀντώνιον εὔξασθαι ὑπὲρ αὐτοῦ: ὁ δὲ ἀντώνιος συμπαθῶν τῷ νεανίσκῳ, ηὔχετο· καὶ τὴν νύκτα πᾶσαν συνηγρύπνησεν αὐτῷ. καὶ ὁ μὲν νεανίσκος ἐξαίφνης ἐπελθὼν τῷ ἀντωνίῳ περὶ τὴν ἕω, ὤθησεν αὐτόν. τῶν δὲ σὺν ἐκείνῳ ἐλθόντων ἀγανακτούντων, ἔφη ὁ ἀντώνιος, μὴ χαλεπαίνετε τῷ νεανίσκῳ: οὐ γὰρ αὐτός ἐστιν, ἀλλ' ὁ ἐν αὐτῷ δαίμων. ἐπιτιμηθεὶς δὲ καὶ κελευσθεὶς ἐλαθῆναι εἰς ἀνύδρους τόπους, ἐμάνη καὶ τοῦτο πεποίηκε. δοξάζετε οὖν τὸν κύριον. τὸ γὰρ οὕτως αὐτὸν ὁρμῆσαι κατ' ἐμοῦ, σημεῖον ὑμῖν γέγονε τῆς τοῦ δαίμονος ἐξόδου. ταῦτα τοῦ ἀντωνίου εἰπόντος, εὐθὺς ὁ νεανίσκος γέγονεν ὑγιής, καὶ λοιπὸν σωφρονήσας, ἔγνω ὅπου τε ἦν, καὶ κατησπάζετο τὸν γέροντα εὐχαριστῶν τῷ θεῷ. πολλά τε ἄλλα τοιαῦτα συμφώνως καὶ ὁμαλῶς εἰρήκασι περὶ αὐτοῦ πλεῖστοι τῶν μοναχῶν δι' αὐτοῦ γεγενῆσθαι. οὐκ ἔτι δὲ ταῦτα θαυμαστὰ τοσοῦτον, ὅσον τὰ ἄλλα θαυμαστότερα μᾶλλον φαίνεται. μέλλων γὰρ ἐσθίειν, καὶ ἀναστὰς εὔξασθαί ποτε περὶ τὴν ἐνάτην ὥραν, ᾔσθετο ἑαυτὸν ἁρπαγέντα τῇ διανοίᾳ· καὶ τὸ παράδοξον, ἑστὼς ἔβλεπεν ἑαυτὸν ὥσπερ ἔξωθεν ἑαυτοῦ γινόμενον, καὶ ὡς εἰς τὸν ἀέρα ὁδηγούμενον ὑπό τινων. εἶτα πικρούς καὶ δεινούς τινας ἑστῶτας ἐν τῷ ἀέρι, καὶ θέλοντας αὐτὸν κωλῦσαι· ὥστε μὴ διαβῆναι. τῶν δὲ ὁδηγούντων ἀντιμαχομένων, ἀπῄτουν ἐκεῖνοι λόγον, εἰ μὴ ὑπεύθυνος αὐτοῖς εἴη; θελόντων τοίνυν συνάραι λόγον ἀπὸ τῆς γεννήσεως αὐτοῦ, ἐκώλυον οἱ τὸν ἀντώνιον ὁδηγοῦντες, λέγοντες ἐκείνοις· τὰ μὲν ἀπὸ τῆς γεννήσεως αὐτοῦ ὁ κύριος ἀπήλειψεν: ἐξ οὗ δὲ γέγονε μοναχὸς καὶ ἐπηγγείλατο τῷ θεῷ, ἔξεστι λόγον ποιῆσαι. τότε κατηγορούντων καὶ μὴ ἐλεγχόντων, ἐλευθέρα γέγονεν αὐτῷ καὶ ἀκώλυτος ἡ ὁδός. καὶ εὐθὺς εἶδεν ἑαυτὸν ὥσπερ ἐρχόμενον καὶ πρὸς ἑαυτὸν ἑστῶτα, καὶ πάλιν ἦν ὅλως ἀντώνιος. τότε τοῦ μὲν φαγεῖν αὐτὸς ἐπιλαθόμενος, ἔμεινε τὸ λοιπὸν τῆς ἡμέρας, καὶ δι' ὅλης νυκτὸς στενάζων καὶ εὐχόμενος. ἐθαύμαζε γὰρ,

βλέπων

ita graviter ab Alastore agitatus, ut ad senem se iuisse ignoraret, qvin & corporis excrementa esitaret. Qui ergo ad Antonium duxerunt, pro ipso ut Deum precaretur rogarunt. Vicem ille juvenis doluit, precatusq; noctem integram cũ eo insomnem transegit. Diluculo idem confestim in Antonium qvodam ruit impetu. Qvo offensi qvum indignarentur cæteri: ne, inqvit, homini succenseatis; non enim ipse petiit me; sed, qvo infestatur, dæmon. Increpatus autem & in arida loca proficisci jussus; cum insania id factitavit. Gloriam itaq; Domino tribuite: furens etenim & uiolentus in me impetus, indicium est discessus dæmonis. Qvibus ab Antonio dictis, sanitatem recuperavit illicò juvenis; menteq; integrâ, ubi locorum esset scivit, ac gratiis Deo actis, seni osculum dedit. Id genus alia multa edidisse Antonium signa, monachorum plurimi, uno pariter consensu, de ipso narrarunt. Qvæ tantam tamen admirationem haud movent, qvantò majorem videntur habere alia nonnulla. Cibũ enim capturus qvum surrexisset qvondam ad preces, horã circiter nonam; mente se raptum sensit. Qvodq; suspiciendum, stans vidit se ipsum tanquam extra se se, atq; à qvibusdam velut in aërem deduci; ibiq; tetros nonnullos & terribiles consistere, transitum ejus ut impedirent. Reluctantibus verò ejusdẽ ducibus; expostulare illi, qvasi obnoxius ipsis esset. Cumq; rationes à nativitatis exordio exposcerent, conferrentq; iidem Antonii duces prohibuere, ac dixere; culpam à natali die omnem delevisse Dominum: licere autem illis à monachatus tempore, & qvo se Deo consecrasset, primordium exigendi capere. Cum igitur accusarent qvidem, non autem convincerent eum; libera minimeq; impedita ipsi via fuit. tum illicò se veluti reversũ vidit, atq; priore loco integrum stare. Ibi oblitus capere cibum, substitit per tempus, qvod diei erat reliqvum; noctem verò totam gemitibus & precibus transegit. Admirabatur enim, ut

vidit adver-

vidit adversus qvot nobis lucta esset, & transitus per aërem qvanto labore constaret: eratq; recordatus id ipsum esse qvod Ephes. 2, 2.
apostolus dixerit; secundum principem potestatis aëris hujus. Hæc enim est hostis potestas, pugnare, atq; experiri omnia, qvo minus qvisquam trãseat. Vnde gravissimum illud præceptum; Ephes. 6, 13.
Accipite armaturam Dei, ut possitis resistere in die malo: ut is Tit. 2, 8.
qui ex adverso est vereatur, nihil habens malum dicere de vo- 2. Cor. 12, 2.
bis. Qvo nos cognito; meminerimus verborum Pauli. sive in ibid. v. 2. 4.
corpore, nescio; sive extra corpus, nescio; Deus scit. Et Paulus qvidem usq; ad tertium cælum raptus, auditis verbis arcanis, descendit: Antonius autem usq; ad aërem sevidit pervenisse, luctatus donec liber evaderet. Aliud rursum Antonio fuit donũ. Sedens enim in monte solus, si qva de re non nunquam apud se dubitabat; ea ipsi divinâ providentiâ revelabatur; eratq; (ut Esai. 54, 13.
scriptura loqvitur) beatus ille doctus à Deo. Post id temporis, Ioan. 6, 45.
qvum de animæ conditione cum qvibusdam familiaribus disseruisset, qvis hinc migraturæ locus esset futurus; nocte proximâ, qvidam desuper vocato ipsi, Antoni, ait, surge prodi, atq; vide. Egressus igitur (norat enim, aures qvibus dandæ) longum qvẽdam cernebat oculis, deformem, ac terribilem, stantem, & ad ipsas pertingentem nubes; non nullos etiam qvasi alis præditos ascendere; illum manus extendere; & alios qvidem ab illo impediri, alios superiùs volare, & transitu perfunctos, securè sursum ferri. Ob hos ergò stridebat dentibus, ob illos delapsos lætabatur. Tum vocem Antonius audijt, Considera visum. Et apertâ ipsi mente, animadvertit, illum animarum esse transitum; longumq; istum, esse hostem qvi credentibus inviderer; sibiq; obnoxios teneret; nec transire pateretur: eos verò, qvi fidem ipsi derogarent, teneri haud posse, ut qvi subvehantur. Qvo rursum cognito, & velut commonefactus, magis contendit qvotidie

βλέπων πρὸς πόσους ἡμῖν ἐστὶν ἡ πάλη: καὶ διὰ πόσων τινῶν ἔχει τις διαβῆναι τὸν ἀέρα· καὶ ἐμνημόνευεν ὅτι τοῦτό ἐστιν, ὃ ἔλεγεν ὁ ἀπόστολος, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος. ἐν τούτῳ γὰρ ὁ ἐχθρὸς ἔχει τὴν ἐξουσίαν, ἐν τῷ μάχεσθαι καὶ πειράζειν διακωλύειν τοὺς διερχομένους. διὸ καὶ μάλιστα παρῄνει· ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα μηδὲν ἔχων λέγειν περὶ * ἡμῶν φαῦλον ὁ ἐχθρὸς, καταισχυνθῇ. ἡμεῖς δὲ τοῦτο μαθόντες, * ἐμνημονεύσωμεν τοῦ ἀποστόλου λέγοντος, εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ θεὸς οἶδεν. ἀλλ' ὁ μὲν παῦλος, ἕως τρίτου οὐρανοῦ ἡρπάγη, καὶ ἀκούσας ἄρρητα ῥήματα, κατῆλθεν: ὁ δὲ ἀντώνιος, ἕως τοῦ ἀέρος εἶδεν ἑαυτὸν φθάσαντα, καὶ ἀγωνισάμενος ἕως ἐλεύθερος ἐφάνη. εἶχε δὲ καὶ τοῦτο πάλιν χάρισμα. ἐν γὰρ τῷ ὄρει κατὰ μόνας καθήμενος, εἴποτέ τι πρὸς ἑαυτὸν ἠπόρει, τοῦτο αὐτῷ παρὰ τῆς προνοίας εὐχομένῳ ἀπεκαλύπτετο. καὶ ἦν, κατὰ τὸ γεγραμμένον, θεοδίδακτος γενόμενος ὁ μακάριος. μετὰ ταῦτα γοῦν διαλέξεως αὐτῷ ποτὲ γενομένης πρός τινας συνελθόντας πρὸς αὐτὸν περὶ τῆς διαγωγῆς τῆς ψυχῆς, καὶ ποῖος μετὰ ταῦτα αὐτῇ τόπος ἔσται; τῇ ἑξῆς νυκτὶ καλεῖ τις ἄνωθεν αὐτὸν, λέγων· ἀντώνιε, ἀναστὰς ἔξελθε καὶ βλέπε. ἐξελθὼν τοίνυν (ᾔδει γὰρ τίσιν ὑπακούειν ὀφείλει) καὶ ἐθεώρησέ τινα μακρὸν ἀειδῆ καὶ φοβερὸν, ἑστῶτα καὶ φθάνοντα μέχρι τῶν νεφελῶν, καὶ ἀναβαίνοντάς τινας ὥσπερ ἐπτερωμένους. κἀκεῖνον ἐκτείνοντα τὰς χεῖρας. καὶ τοὺς μὲν κωλυομένους παρ' αὐτοῦ· τοὺς δὲ ὑπερπταμένους, καὶ διελθόντας λοιπὸν, ἀμερίμνως ἀνάγεσθαι. ἐπὶ μὲν οὖν τοῖς τοιούτοις, ἔτριζε τοὺς ὀδόντας ὁ μακρὸς ἐκεῖνος: ἐπὶ δὲ τοῖς ἀποπίπτουσιν, ἔχαιρε. καὶ πρὸς ἀντώνιον ἐγένετο φωνὴ, νόει τὸ βλεπόμενον. καὶ διανοιχθείσης αὐτοῦ τῆς διανοίας, ἐνενόει τῶν ψυχῶν εἶναι τὸν ἐχθρὸν τὸν φθονοῦντα τοῖς πιστοῖς: καὶ τοὺς μὲν ὑπευθύνους αὐτῷ, κρατοῦντα καὶ κωλύοντα διελθεῖν· τοὺς δὲ μὴ πεισθέντας αὐτῷ, μὴ δυνάμενον κρατεῖν ὡς ὑπερβαίνοντας. τοῦτο πάλιν ἑωρακὼς, καὶ ὥσπερ ὑπομιμνησκόμενος, μᾶλλον ἠγωνί-

* ὑμῶν
* μνημονεύσωμεν

ζετο προκόπτειν τοῖς ἔμπροσθεν καθ' ἡμέραν. τινὰ δὲ οὐχ ἑκὼν ἀπήγγειλεν αὐτός. ἐν δὲ τῷ χρονίζειν ἐν ταῖς εὐχαῖς καὶ καθ' ἑαυτὸν θαυμάζειν, πυνθανομένων τῶν συνόντων καὶ θλιβόντων αὐτόν· ἠναγκάζετο λέγειν· ὡς πατὴρ οὐ δυνάμενος κρύπτειν τοῖς τέκνοις, ἀλλὰ καὶ ἡγούμενος, ὅτι τὸ μὲν αὐτοῦ συνειδὸς ἐστὶ καθαρόν, ἐκείνοις δὲ τὸ διήγημα γίνεται πρὸς ὠφέλειαν. μανθάνουσι τῆς ἀσκήσεως εἶναι καρπὸν ἀγαθόν, τῶν τε πόνων πολλάκις παραμύθιον γίνεσθαι τὰς ὀπτασίας. πῶς δὲ καὶ τὸ ἦθος ἀνεξίκακος ἦν καὶ τὴν ψυχὴν ταπεινόφρων! τοιοῦτος γὰρ ὤν, τόν τε κανόνα τῆς ἐκκλησίας ὑπερφυῶς ἐτίμα, καὶ πάντα κληρικὸν τῇ τιμῇ προηγεῖσθαι ἤθελον ἑαυτοῦ. τοῖς μὲν γὰρ ἐπισκόποις καὶ πρεσβυτέροις οὐκ ᾐδεῖτο κλῖναι τὴν κεφαλήν. διάκονος δὲ εἴ ποτε πρὸς αὐτὸν ὠφελείας χάριν ἀπήντα: τὰ μὲν πρὸς ὠφέλειαν διελέγετο· τὰ δὲ τῆς εὐχῆς αὐτῷ παρεχώρει, οὐκ αἰδούμενος μανθάνειν καὶ αὐτός. καὶ γὰρ πολλάκις ἐπυνθάνετο, καὶ ἠξίου πάντων συνόντων ἀκούειν· καὶ ὡμολόγει ὠφελεῖσθαι, εἴ τι χρήσιμόν τις ἔλεγε. καὶ μὴν καὶ τὸ πρόσωπον αὐτοῦ χάριν εἶχε πολλὴν καὶ παράδοξον. εἶχε δὲ καὶ τοῦτο τὸ χάρισμα παρὰ τοῦ σωτῆρος. εἰ γὰρ μετὰ τοῦ πλήθους τῶν μοναχῶν παρῆν, καὶ τοῦτόν τις ἰδεῖν ἐβούλετο μὴ πρότερον γινώσκων· προσελθὼν εὐθύς, τοὺς μὲν ἄλλους ὑπερέβαινε, πρὸς αὐτὸν δὲ ἔτρεχεν, ὡς ὑπὸ τῶν ὄψεων ἑλκόμενος αὐτοῦ. οὐχ ὕψει δὲ, οὐδὲ πλάτει διέφερε τῶν ἄλλων· ἀλλὰ τῇ τῶν ἠθῶν καταστάσει, καὶ τῇ τῆς ψυχῆς καθαρότητι. ἀθορύβου γὰρ οὔσης τῆς ψυχῆς, ἀταράχους εἶχε καὶ τὰς ἔξωθεν αἰσθήσεις· ὡς ἀπὸ τῆς ψυχῆς, ἱλαρὸν ἔχειν καὶ τὸ πρόσωπον, καὶ ἀπὸ τῶν τοῦ σώματος κινημάτων, αἰσθάνεσθαι καὶ νοεῖν τὴν τῆς ψυχῆς κατάστασιν. κατὰ τὸ γεγραμμένον· καρδίας εὐφραινομένης, πρόσωπον θάλλει: ἐν δὲ λύπαις οὔσης, σκυθρωπάζει. οὕτως ἰακὼβ ἐπέγνω τὸν λάβαν ἐπιβουλὴν ἐνθυμούμενον, καὶ φησὶ πρὸς τὰς γυναῖκας: οὐκ ἔστι τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν, ὡς χθὲς καὶ τρίτην ἡμέραν. οὕτως ὁ σαμουὴλ ἐπέγνω τὸν Δαβίδ. [a] χαροποιοὺς γὰρ εἶχε τοὺς ὀφθαλμούς, καὶ τοὺς ὀδόντας ὡς γάλα λευκούς.

[a] χαροποιὸς

οὕτως

dit quotidie in ijs quæ priora essent progredi. Hæc invitus recitavit: sed quum inter orandum tardaret, secumq; id miraretur; percunctantibus ijs qui tunc aderant, & gravius ipsum premebant, coactus dixit. nam, ut pater, celare hoc liberos neqvibat; ratus etiam, conscientiam sibi esse puram, illis verò narrationem fore utilem, cogituris, quantus Asceticæ fructus esset, quamq; visiones sæpe laboribus solatium adferrent. Qvòd porrò naturâ malorum esset tolerans, animoq; humili & abjecto, mirum in modum: Ecclesiæ canonē supra qvàm dici potest honorabat, & clericum qvemvis honore sibi præire volebat. Episcopis nanq; & presbyteris caput submittere non pudebat: Diaconus verò qvispiam siqvando cōmodi [alicujus] gratia ipsum conveniebat; qvod è re foret, disseruit; in precibus illi cessit, nō pudori sibi ducens discere. Nam sciscitabatur non raró; & omnes præsentes audire dignabatur; fassus cōmodo sibi esse, si à qvoquam utile qvid diceretur. Multum qvoq; gratiæ admirādæ vultui ejusdem inerat, Servatoris & hoc donum. Ad magnū enim monachorum cœtum si qvis, ejus videndi causa, accesserat; illicò, neglectis alijs, ad ipsum licet priùs ignotum accurrebat, illius qvasi aspectu pellectus. Non statura verò, neq; corporis mole alijs præstabat: sed morum comitate & facilitate, animiq; puritate. Qvo à perturbationibus vacuo, sensus etiam externi fuerunt tranqvilli: ut animi lætitiam, vultus hilaritas fuerit subsecuta; & è corporis motu, affectio mentis sentiretur & cognosceretur. secundum illud Scripturæ, Cor gaudens exhilarat faciem, in mœrore animi deijcitur spiritus. Proverb. 15,13. *Sic Iacob agnovit, Laban de insidijs struendis cogitare; ideoq; dixit uxoribus, Video faciem patris vestri, qvòd non sit erga me, sicut heri & nudiustertius* Genes. 31,5 *Sic Davidem agnovit Samuel: Pulchros enim habebat oculos, & dentes tanqvā lac candidos. Sic agnoscebatur etiam*

Antonius. Nunquam ſiqvidem perturbabatur, propter animi ſerenitatem; nunquam triſti erat vultu, propter mentis tranqvillitatem & jucunditatem. Præclara qvoq; & admiranda fides ac pietas illi erat. Neq; enim cum Meletianis ſchiſmaticis qvicquam habuit commercij, cognita malicia ipſorum ab initio & defectione: neq; cum Manichæis, alijs've hæreticis, amicè contulit unquam, niſi moniturus, ut mutato animo pietati ſe ſe dederent. exiſtimabat enim & aſſeverabat, amicitiam horum & conſuetudinem, animi perniciem atq; interitum eſſe. Sic qvoque Arianorum hæreſin abominabatur; omneſq; hortabatur, ne vel eis appropinquarent, vel corruptæ ipſorum doctrinæ locum darent. Vnde qvoſdam Ariomanitas ad ſe ſe qvondam adventantes, exploratâ & cognitâ illorum impietate, à monte repulit; ſermones ipſorum, veneno ſerpentum deteriores dicens. cumq; aliqvando in ipſum eſſent mentiti, qvaſi idem cum illis ſentiret: indignabatur, graviterq; ijs ſuccenſebat. Epiſcoporum poſtea fratrumq; omnium hortatu de monte deſcendit; ingreſſusq; Alexandriam, Arianos exterminavit, ac hæreſin eorum ſummam, & Antichriſti præviam eſſe dixit. Docuitq; populum, Filium Dei non eſſe creatũ, neq; factum ex nihilo: ſed æternum eſſentiæ Patris Verbum, & Sapientiam, eſſe. Qvocircà impiè dici; Erat, qvum non erat: Verbum enim ſemper, unà cum patre, fuit. Qvapropter nihil vobis ſit cum ſummè impijs Arianis
2. Cor. 6, 14. *commune. Nulla enim ſocietas luci ad tenebras. Vos enim pij, eſtis Chriſtiani: illi affirmando, filium ex Patre, Dei, & Verbum,*
Rom. 1, 25. *eſſe creaturam, nihil ab Ethnicis differunt, qvi ſerviunt creaturæ potius quàm Creatori Deo. Credite autem [mihi] omnem*
Ioan. 1, 3. *creaturam adverſus iſtos ira commoveri, qvod creatorem &*
Coloſs. 1, 16. *Dominum Vniverſi, per qvem omnia facta ſunt, creatis annumerant. Lætabatur igitur omnis populus, poſtqvam audijt hæ-*
reſin

οὕτως καὶ ὁ ἀντώνιος ἐπεγινώσκετο. οὐδέποτε γὰρ ἐταράττετο, γαληνιώσης αὐτοῦ τῆς ψυχῆς· οὐδέποτε σκυθρωπὸς ἐγίνετο, χαιρούσης αὐτοῦ τῆς διανοίας. καὶ τῇ πίστει δὲ πάνυ θαυμαστὸς ἦν, καὶ εὐσεβής. οὔτε γὰρ μελετιανοῖς τοῖς * σχηματικοῖς ποτὲ κεκοινώνηκεν, εἰδὼς αὐτῶν τὴν ἐξ ἀρχῆς πονηρίαν καὶ ἀποστασίαν· οὔτε μανιχαίοις, ἢ ἄλλοις τισὶν αἱρετικοῖς ὡμίλησεν φιλικά, ἢ μόνον ἄχρι νουθεσίας τῆς πρὸς εὐσέβειαν μεταβολῆς. ἡγούμενος καὶ παραγγέλλων, τὴν τούτων φιλίαν καὶ ὁμιλίαν, βλάβην καὶ ἀπώλειαν εἶναι ψυχῆς. οὕτω γοῦν καὶ τὴν τῶν ἀρειανῶν αἵρεσιν ἐβδελύσσετο, παρήγγελλέ τε πᾶσι, μήτε ἐγγίζειν αὐτοῖς, μήτε τὴν κακοπιστίαν αὐτῶν ἔχειν. ἀπελθόντας γοῦν ποτέ τινας πρὸς αὐτὸν τῶν ἀρειομανιτῶν· ἀνακρίνας καὶ μαθὼν ἀσεβοῦντας, ἐδίωξεν ἀπὸ τοῦ ὄρους, λέγων, ὄφεων ἰοῦ χείρονας εἶναι τοὺς λόγους αὐτῶν. καὶ ψευσαμένων δέ ποτε τῶν ἀρειανῶν, ὡς ἐκείνοις τὰ αὐτὰ φρονοῦντος, ἠγανάκτει καὶ ἐθυμοῦτο κατ' ἐκείνων. εἶτα παρακληθεὶς παρά τε τῶν ἐπισκόπων καὶ τῶν ἀδελφῶν πάντων, κατῆλθεν ἀπὸ τοῦ ὄρους· καὶ εἰσελθὼν εἰς τὴν ἀλεξάνδρειαν, τοὺς ἀρειανοὺς ἀπεκήρυξεν: αἵρεσιν ἐσχάτην εἶναι λέγων ταύτην, καὶ πρόδρομον τοῦ ἀντιχρίστου. ἐδίδασκέ τε τὸν λαὸν μὴ εἶναι κτίσμα τὸν υἱὸν τοῦ θεοῦ, μηδὲ ἐξ οὐκ ὄντων γεγενῆσθαι: ἀλλ' ὅτι ἀΐδιός ἐστι τῆς τοῦ πατρὸς οὐσίας λόγος καὶ σοφία. διὸ καὶ ἀσεβές ἐστι λέγειν, ἦν ὅτε οὐκ ἦν· ἦν γὰρ ἀεὶ ὁ λόγος συνυπάρχων τῷ πατρί. ὅθεν μηδεμίαν ἔχετε κοινωνίαν πρὸς τοὺς ἀσεβεστάτους ἀρειανούς· οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος. ὑμεῖς γὰρ εὐσεβοῦντες χριστιανοί ἐστε· ἐκεῖνοι δὲ κτίσμα λέγοντες τὸν ἐκ τοῦ πατρὸς, υἱὸν τοῦ θεοῦ καὶ λόγον, οὐδὲν διαφέρουσιν ἐθνικῶν λατρευόντων τῇ κτίσει παρὰ τὸν κτίσαντα θεόν. πιστεύσατε δὲ ὅτι καὶ αὐτὴ ἡ κτίσις πᾶσα ἀγανακτεῖ κατ' αὐτῶν, ὅτι τὸν κτίστην καὶ κύριον τοῦ παντὸς, ἐν ᾧ τὰ πάντα γέγονε, τοῦτον τοῖς γενητοῖς συναριθμοῦσιν. οἱ μὲν οὖν λαοὶ πάντες ἔχαιρον ἀκούοντες παρὰ τοῦ τοιούτου ἀνδρὸς ἀναθεματιζομένην τὴν χριστομάχον

* χισματικοῖς

αἵρεσιν. οἱ δὲ τῆς πόλεως πάντες συνέτρεχον ἰδεῖν τὸν ἀντώνιον· ἕλληνές τε, καὶ αὐτοὶ οἱ λεγόμενοι αὐτῶν ἱερεῖς εἰς τὸ κυριακὸν ἤρχοντο λέγοντες· ἀξιοῦμεν ἰδεῖν τὸν τοῦ θεοῦ ἄνθρωπον. πάντες γὰρ αὐτὸν οὕτως ἐκάλουν: καὶ γὰρ κἀκεῖ πολλοὺς δι' αὐτοῦ ἐκαθάρισεν ὁ κύριος ἀπὸ δαιμόνων, καὶ βλαβέντας τὴν διάνοιαν ἰάσατο. πολλοὶ δὲ καὶ ἕλληνες ἠξίουν κἂν μόνον ἅψασθαι τοῦ γέροντος, πιστεύοντες ὠφεληθῆναι. ἀμέλει τοσοῦτοι γεγόνασι χριστιανοὶ ἐν ταῖς ὀλίγαις ἡμέραις ἐκείναις, ὅσους ἄν τις εἶδεν ἐνιαυτῷ γινομένους. εἶτα τινῶν νομιζόντων ἐκ τῶν ὄχλων αὐτὸν παρενοχλεῖσθαι, καὶ διὰ τοῦτο ἀποτρεπόντων ἀπ' αὐτοῦ πάντας: αὐτὸς οὐ παραθολούμενος ἔλεγε, μὴ πλείους εἶναι τούτους ἐκείνων, μεθ' ὧν ἐν τῷ ὄρει παλαίομεν δαιμόνων. ὅτε δὲ ἀπεδήμει, καὶ προεπέμπομεν αὐτὸν: ὡς ἐφθάσαμεν εἰς τὴν πύλην, ὄπισθέν τις ἐβόα γυνή, μεῖνον ἄνθρωπε τοῦ θεοῦ, ἡ θυγάτηρ μου δεινῶς ὑπὸ δαίμονος ἐνοχλεῖται· μεῖνον παρακαλῶ, μὴ κἀγὼ κινδυνεύσω τρέχουσα. ἀκούσας ὁ γέρων, καὶ ἀξιωθεὶς παρ' ἡμῶν, θέλων ἔμεινεν. ὡς δὲ ἤγγισεν ἡ γυνή: ἡ μὲν παῖς ἔρριπτο χαμαί. τοῦ δὲ ἀντωνίου προσευξαμένου, καὶ τὸ χριστὸν ὀνομάσαντος: ἠγέρθη ἡ παῖς ὑγιής, ἐξελθόντος τοῦ ἀκαθάρτου δαίμονος. ἥ τε μήτηρ εὐλόγει τὸν θεόν, καὶ πάντες ηὐχαρίστουν· καὶ αὐτὸς δὲ ἔχαιρεν ἀποδημῶν, ὡς εἰς τὸν ἴδιον οἶκον, εἰς τὸ ὄρος. καὶ φρόνιμος δὲ ἦν λίαν· καὶ (τὸ θαυμαστὸν) ὅτι γράμματα μὴ μαθών, ἀγχίνους ἦν καὶ συνετὸς ἄνθρωπος. ποτὲ γοῦν φιλόσοφοι δύο ἦλθον πρὸς αὐτὸν ἕλληνες, νομίζοντες δύνασθαι πειράσαι τὸν ἀντώνιον· ἦν δὲ ἐν τῷ ὄρει τῷ ἔξω· * ὡς δὲ ἐκ τοῦ προσώπου συνεὶς

κἰ δὲ

τοὺς ἀνθρώπους, ἐξελθὼν πρὸς αὐτούς, ἔφη δι' ἑρμηνέως. τί τοσοῦτον ἐσκύλητε, ὦ φιλόσοφοι, πρὸς μωρὸν ἄνθρωπον; τῶν δὲ εἰπόντων μὴ εἶναι μωρὸν αὐτόν, ἀλλὰ καὶ μάλα φρόνιμον: ἔφη πρὸς αὐτούς· εἰ μὲν πρὸς μωρὸν ἤλθετε, περιττὸς ὑμῶν ὁ κάματος: εἰ δὲ νομίζετέ με φρόνι-

φρόνι-

resin istam, qua Christus oppugnaretur, à tali viro pro anathemate habendam pronunciari: & quot quot erant in urbe, videndi Antonij gratia concurrebant · tamq; pagani, quàm dicti horum sacerdotes, templum ingressi hominem Dei videre cupiebant. Omnes nanq; ita eum appellabant; quòd etiam illic multos Dominus per ipsum à dæmonibus mundasset, & insania mentis liberasset. Multi {& ex paganis senem modò tangere cupiebant, sibi profuturum credentes. Nimirum paucis illis diebus tot ad Christianismum sunt conversi, quot vel annuo spacio Christianos videas. Inde quum nonnulli existimarent, turbam ipsi esse molestam, ideoq; omnem ab illo arcerent: is, minimè turbatus, longè majorem esse numerum dixit dæmonum, quibus cum in monte luctaretur. Cum urbe rursus excederet, eumq; comitaremur; ad portam ut pervénimus; à tergo nostri, mulier quædam clamat, Maneto vir Dei, filia mea graviter à dæmone vexatur; maneto quæso, ne & ego cursitans pericliter. Quo senex audito, rogatus à nobis, volens substitit. Muliere propiùs accedente, filia humi jactabatur. Antonio autem precante, ac Christum nominante; filia, egresso impuro dæmone, sana surrexit. Mater Deo benedicere, omnes gratias agere; ipse lætus ad montem, tanquam domum suam, proficisci. Singularis etiàm illi fuit prudentia, & (quod in homine literarum imperito mireris) acumen ingenij, atq; mentis perspicacia. Cum igitur duo quondam philosophi Græci adirent ipsum, rati periculum se ejus posse facere; erat autem in monte exteriore. Ut verò, ad illos egressus, ex fronte homines agnovit; Quid, inquit per interpretem, tantum eundi ad hominem fatuum suscipitis laborem Philosophi? His fatuum ipsum negantibus, quin potiùs per quàm intelligentem [asserentibus] dixit, Si ad hominem venistis stultum, fatigati estis frustra; sin vobis videor intelligens,

telligent, mihi similes fiatis: pulchra enim sunt imitatione digna. Eqvidem ad vos venturus, vos imitarer: qvòd si vos ad me, fiatis, qvi tum ego, Christiani. Admirati illi discesserunt: nam & dæmonibus ipsum terrori esse viderunt. Cum alij, conditionis ejusdem, ibidem in illum inciderent, ac ludos senem facere cogitarent, literarum quippe rudem: eos Antonius interrogavit, Vtrum vobis videtur prius, mens ne, an litera? & utra alterius causa, Mens literarum, an hæ illius? Qvi qvum mentem dicerent priorem, ac literarum inventricem: Antonius illis; Cui ergo mens (inquit) est sana, ei litera non sunt necessaria. Qvo sermone tam alij tum præsentes quàm ipsi fuerunt obstupefacti; & tantam in homine idiota mirati sapientiam, abierunt. Non enim mores ipsi fuerunt, tanquam enutrito in monte, ibidemq; facto seni: sed humanitate politi atq; elegantes, ut habuerit qviddam innatum qvasi civile atque populare. Sermo ejusdem divino sale fuit conditus; ut nemo ipsi inviderit, sed eo lætati potius fuerint qvotquot illum convenirent. Nam etiam posteà, qvum alij rursum venirent, qvi existimabantur inter Græcos docti, & fidei Christianæ rationem ab eo reposcerent, niterenturq; de præconio divinæ crucis argutè disputare, ipsumq; subsannare: Antonius paululum moratus, eorumq; inscitiam miseratus primùm; per interpretem, qvi ejus sensa probè exprimebat, Quid est inqvit pulchrius, confiteri crucem; an Dijs apud vos nuncupatis adulteria & masculam venerem attribuere? Qvod enim à nobis fertur, proprium est fortitudinis signum, & certum contemptus mortis indicium: vestra autem, sunt lascivia ac petulantiæ morbi. Deinde, utrum præstat dicere, Dei Verbum non mutatum; sed idem qvum sit, in hominum salutem & beneficium, corpus humanum assumpsisse; ut in communionem generationis humanæ veniendo, homines divinæ

φρόνιμον εἶναι, γίνεσθε ὡς ἐγώ. δεῖ γὰρ τὰ καλὰ μιμεῖσθαι· καὶ εἰ μὲν ἐγὼ πρὸς ὑμᾶς ἠρχόμην, ἐμιμησάμην ἂν ὑμᾶς· εἰ δὲ ὑμεῖς πρὸς ἐμὲ, γίνεσθε ὡς ἐγώ· χριστιανὸς γάρ εἰμι. οἱ δὲ θαυμάζοντες, ἀνεχώρουν· ἔβλεπον γὰρ καὶ δαίμονας φοβουμένους τὸν ἀντώνιον. ἄλλων δὲ πάλιν τοιούτων ἀπαντησάντων πρὸς αὐτὸν ἐν τῷ ὄρει τῷ ἔξω, καὶ νομιζόντων χλευάζειν, ὅτι μὴ μεμάθηκε γράμματα: λέγει πρὸς αὐτοὺς ὁ ἀντώνιος, ὑμεῖς δὲ τί λέγετε; τί πρῶτόν ἐστι; νοῦς ἢ γράμματα; καὶ τί τίνος αἴτιον; ὁ νοῦς τῶν γραμμάτων, ἢ τὰ γράμματα τοῦ νοῦ; τῶν δὲ εἰπόντων, πρῶτον εἶναι τὸν νοῦν, καὶ τῶν γραμμάτων εὑρετήν: ἔφη ὁ ἀντώνιος· ᾧ τοίνυν ὁ νοῦς ὑγιαίνει, οὐκ ἀναγκαῖα τὰ γράμματα. τοῦτο καὶ τοὺς παρόντας καὶ αὐτοὺς ἐξέπληξεν. ἀπῆλθον οὖν θαυμάζοντες, ὅτι τοσαύτην ἔβλεπον ἐν ἰδιώτῃ σύνεσιν. καὶ γὰρ οὐχ, ὡς ἐν ὄρει τραφεὶς, κἀκεῖ γέρων γενόμενος, ἄγριον εἶχε τὸ ἦθος: ἀλλὰ καὶ χαρίεις ἦν καὶ πολιτικός. τὸν δὲ λόγον εἶχεν ἠρτυμένον τῷ θείῳ ἅλατι: ὥστε μηδένα φθονεῖν, χαίρειν δὲ μᾶλλον ἐπ' αὐτῷ πάντας τοὺς ἐρχομένους πρὸς αὐτόν. ἀμέλει καὶ μετὰ ταῦτα πάλιν ἐλθόντων τινῶν (ἦσαν δὲ οὗτοι τῶν παρ' ἕλλησι δοκούντων εἶναι σοφῶν) καὶ ἀπαιτούντων αὐτὸν λόγον περὶ τῆς καθ' ἡμᾶς ἐν χριστῷ πίστεως, ἐπιχειρούντων δὲ συλλογίζεσθαι περὶ τοῦ κηρύγματος τοῦ θείου σταυροῦ, καὶ βουλομένων χλευάζειν: ὀλίγον ἐπισχὼν, ὁ ἀντώνιος, καὶ πρῶτον οἰκτείρας αὐτοὺς ἐπὶ τῇ ἀγνωσίᾳ, ἔλεγε δι' ἑρμηνέως, τοῦ καλῶς τὰ ἐκείνου διερμηνεύοντος: τί κάλλιόν ἐστι, σταυρὸν ὁμολογεῖν, ἢ μοιχείας καὶ παιδοφθορίας προσάπτειν τοῖς λεγομένοις παρ' ὑμῖν θεοῖς; τὸ μὲν γὰρ παρ' ἡμῶν λεγόμενον, ἀνδρίας ἐστὶ τεκμήριον, καὶ καταφρονήσεως θανάτου γνώρισμα: τὰ δὲ ὑμέτερα ἀσελγείας ἐστὶ πάθη. ἔπειτα τί βέλτιόν ἐστι, λέγειν ὅτι ὁ τοῦ θεοῦ λόγος οὐκ ἐτράπη· ἀλλ' ὁ αὐτὸς ὢν ἐπὶ σωτηρίᾳ καὶ εὐεργεσίᾳ τῶν ἀνθρώπων ἀνείληφε σῶμα ἀνθρώπινον, ἵνα τῇ ἀνθρωπίνῃ γενέσει κοινωνήσας, ποιήσῃ τοὺς ἀνθρώπους

κοινωνῆσαι θείας καὶ νοερᾶς φύσεως· ἢ ἐν ἀλόγοις ἐξομοιοῦν τὸ θεῖον, καὶ διὰ τοῦτο σέβειν τετράποδα, καὶ ἑρπετὰ καὶ ἀνθρώπων εἰκόνας; ταῦτα γὰρ ὑμῶν ἐστι τῶν σοφῶν τὰ σεβάσματα. πῶς δὲ χλευάζειν τολμᾶτε ἡμᾶς, λέγοντας τὸν χριστὸν ἄνθρωπον πεφανερῶσθαι· ὅπου γε ὑμεῖς ἐκ τοῦ νοῦ τὴν ψυχὴν ὁρίζοντες, φάσκετε πεπλανῆσθαι αὐτὴν καὶ πεπτωκέναι ἀπὸ τῆς ἁψῖδος τῶν οὐρανῶν εἰς σῶμα; καὶ εἴθε εἰς ἀνθρώπινον μόνον, καὶ μὴ εἰς τετράποδα καὶ ἑρπετὰ μεταβαίνειν καὶ μεταπίπτειν. ἡ μὲν γὰρ ἡμετέρα πίστις ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων τὴν τοῦ χριστοῦ παρουσίαν λέγει· ὑμεῖς δὲ πλανᾶσθε, ὅτι περὶ * ἀγεννήτου ψυχῆς ἐξηγεῖσθε. καὶ ἡμεῖς μὲν τὸ δυνατὸν καὶ φιλάνθρωπον τῆς προνοίας φρονοῦμεν, ὅτι καὶ τοῦτο οὐκ ἀδύνατον ἦν τῷ θεῷ· ὑμεῖς δὲ εἰκόνα τοῦ νοῦ τὴν ψυχὴν λέγοντες, πτώματα προσάπτετε αὐτῇ, καὶ τρεπτὴν αὐτὴν μυθολογεῖτε. καὶ λοιπὸν καὶ αὐτὸν τὸν νοῦν διὰ τὴν ψυχὴν τρεπτὸν εἰσάγετε. ὁποία γὰρ ἦν ἡ εἰκὼν, τοιοῦτον ἀνάγκη κἀκεῖνον εἶναι, οὗ ἐστιν ἡ εἰκών. ὅτ' ἂν δὲ περὶ τοῦ νοῦ τοιαῦτα νομίζητε, ἐνθυμεῖσθε, ὅτι καὶ εἰς αὐτὸν τὸν πατέρα τοῦ νοῦ βλασφημεῖτε. περὶ δὲ τοῦ σταυροῦ τί βέλτιον ἂν εἴποιτε, ἐπιβουλῆς ἐπαγομένης παρὰ πονηρῶν ὑπομένειν σταυρὸν, καὶ μὴ πτήσσειν τὸν ὅπως δήποτε θάνατον ἐπαγόμενον· ἢ πλάνας Ὀσίριδος, καὶ Ἴσιδος, καὶ ἐπιβουλὰς Τυφῶνος, καὶ Κρόνου φυγὴν, καὶ τέκνων καταπόσεις, καὶ πατροκτονίας μυθολογεῖν; ταῦτα γὰρ ὑμῶν ἐστι τὰ σοφά. πῶς δὲ χλευάζοντες τὸν σταυρὸν, οὐ θαυμάζετε τὴν ἀνάστασιν; οἱ γὰρ τοῦτο εἰπόντες, κἀκεῖνο ἔγραψαν. ἢ διὰ τί μνημονεύοντες τοῦ σταυροῦ, σιωπᾶτε περὶ τῶν ἐγερθέντων νεκρῶν, καὶ τῶν ἀναβλεψάντων τυφλῶν, καὶ τῶν θεραπευθέντων παραλυτικῶν; τῶν τε καθαρισθέντων λεπρῶν, καὶ τῆς ἐπὶ τῆς θαλάσσης πεζοπορίας, τῶν τε ἄλλων σημείων καὶ τεράτων· ἅπερ οὐκέτι ἄνθρωπον, ἀλλὰ θεὸν δείκνυσι τὸν χριστόν; πάνυ μοι δοκεῖτε ἀδικεῖν ἑαυτοὺς, καὶ μὴ γνησίως ἐντετυχηκέναι ταῖς γραφαῖς

* ἴσ. ἀγενήτου

ἡμῶν.

atque intellectualis naturæ participes redderet: an numen divinum brutis animalibus assimilare: ideoq; quadrupeda, serpentia, hominumq; imagines colere? hi enim sunt sapientum vestrorum cultus sacri. Quomodo porrò irrisione & cavillis insectari nos audetis, qui Christum dicimus, hominem [verè] comparuisse: quum vos mente animum * circumscribentes, errasse hunc, & è cœlis in corpus delapsum perhibeatis? atq; utinam in humanum duntaxat, non etiam in quadrupedum & reptilium [corpora] transirent & delaberentur. Nostra enim fides, in hominum salutem, ait advenisse Christum: vos verò, non absq; errore, animam * ingenitam docetis. Ac nos quidem, quod in Providentiam cadit, estq; humanitatis, statuimus; id ipsum Dei vires haud exuperasse: vos autem animum Mentis imaginem dicendo, lapsus illi adscribitis, eamq; mutationi esse obnoxiam, fabulamini; atq; ita Mentem ipsam, propter animum, mutabilem introducitis. Qualis nanq; imago est, talis necessariò is est, cujus imaginem gerit. Quòd si de mente sic sentitis: cogitate vos etiam in Mentis parentem blasphemos esse. Ad crucem igitur quod attinet; quid præstabilius dixeritis, si insidiæ ab improbis struantur, tolerare crucem, neq; ullum mortis genus reformidare: an errores Osiridis & Isidis, insidias Typhonis, Saturni fugam, liberûm devorationem, & paricidia fabulosissimè narrare? Hæc enim est vestra sapientia. Quomodo autem irridetis crucem, neq; Resurrectionem admiramini? qui enim hanc confirmant, illud etiam scriptum reliquerunt. Aut cur, facta crucis mentione, tacetis de resuscitatis mortuis, de cæcis qui visum receperunt, de paralyticis sanatis, de leprosis mundatis, de inambulatione supra mare, de aliis deniq; signis & prodigiis? quæ Christum, non hominem jam, sed Deum demonstrant. Videmini omnino ipsi in vos esse injuriosi, neq; candidè nostras

* metientes

* non creatam

Scripturas legisse. Qvin legite, & cernite, quæ Christus hominibus præsens in salutem illorum egerit, ea Deum ipsum commonstrare. Verùm narrate nobis etiam vestra. At qvid de animalibus rationis expertibus, quàm brutũ, ferum atq; immane dicatis? Sin, ut audio, fabulosè hæc à vobis accipi, prætendetis; & [per Proserpinam] allegoricè terram significari; per Vulcani claudicationem, ignem; per Iunonem, aërem; per Apollinem, Solem; per Dianam, Lunam; per Neptunum, mare: nihilo plus Deum colitis; sed servitis creaturæ potius quàm Creatori
Rom. 1. 25. *omnium Deo. Nam si talia ob creaturarũ pulchritudinem commenti estis: atqvi admirari eas duntaxat decuit, non etiam in Deorum numerum referre; ne honos Opificis opificio tribueretur. hac nanque ratione vestrum erit, etiam architecti honorem domui ab illo extructæ adscribere; & militi eum, qvi duci exercitus debebatur. Qvid igitur vos ad hæc; ut cognoscamus, crucem illusione risuq; dignam esse? Hæsitantibus ipsis, & (qvòd animi essent dubij) huc atq; illuc sese vertentibus: subridens Antonius, inqvit; hæc primo statim intuitu sese produnt. Cæterùm qvia rationum demonstrationibus magis nitimini; & hanc profitentes artem, neqve nos vultis, absque probationibus argumentorum, Dei cultum astruere: dicite vos primùm, Res, ac potissimum noticia Dei, quî accuratè dijudicatur, rationum demonstratione, an fidei operatione? & qvid antiqvius, fides quæ fit per operationem, an per rationes demonstratio? Cum illam dicerent antiquiorem, & eam esse certam noticiam: rectè, ait Antonius, respondistis. Fides enim ab animi affectione oritur: Dialectica, ab eorum arte, qvi hanc construxerunt. Quibus igitur fidei est operatio, ijs non est necessaria, fortassis etiam supervacanea, rationum demonstratio. Nam qvod nos fidei beneficio intelligimus: id vos rationibus probare conamini; &*

ἡμῶν. ἀλλ' ἐντυγχάνετε μὲν ὑμεῖς, καὶ βλέπετε, ὅτι ἃ πεποίηκεν ὁ χριστὸς, θεὸν αὐτὸν ἀποδεικνύουσιν, ἐπιδημήσαντα ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων. εἴπατε δὲ καὶ ὑμεῖς ἡμῖν τὰ ὑμέτερα. τί δ' ἂν εἴποιτε περὶ τῶν ἀλόγων· ἢ ἀλογίαν καὶ ἀγριότητα; ἐὰν δὲ, ὡς ἀκούω, θελήσητε λέγειν, μυθικῶς λέγεσθαι ταῦτα παρ' ὑμῖν· καὶ ἀλληγορεῖτε * τὴν γῆν, καὶ ἡφαίστου χωλότητα εἰς τὸ πῦρ, καὶ ἥραν εἰς τὸν ἀέρα, καὶ ἀπόλλωνα εἰς τὸν ἥλιον, καὶ ἄρτεμιν μὲν εἰς τὴν σελήνην, τὸν δὲ ποσειδῶνα εἰς τὴν θάλασσαν: οὐδὲν ἧττον αὐτὸν τὸν θεὸν σέβεσθε, ἀλλὰ τῇ κτίσει λατρεύετε παρὰ τὸν τὰ πάντα κτίσαντα θεόν. εἰ γὰρ, ὅτι καλὴ ἡ κτίσις, ταῦτα συνεθήκατε: ἀλλ' ἔδει μέχρι τοῦ θαυμάσαι μόνον ὑμᾶς γενέσθαι, καὶ μὴ θεοποιῆσαι τὰ ποιήματα· ἵνα μὴ τὴν δημιουργοῦ τιμὴν τοῖς γενητοῖς παρέχητε. ἐπεὶ ὥρα ὑμᾶς καὶ τοῦ ἀρχιτέκτονος τὴν τιμὴν, εἰς τὴν ὑπ' αὐτοῦ γενομένην οἰκίαν μεταφέρειν, ἢ τὴν τοῦ στρατηγοῦ εἰς τὸν στρατιώτην. τί τοίνυν πρὸς ταῦτα λέγετε, ἵνα γνῶμεν, εἰ ἄξιόν τι χλεύης ὁ σταυρὸς ἔχει; ἐκείνων δὲ διαπορούντων, καὶ στρεφομένων ὧδε κἀκεῖσε: μειδιάσας ὁ ἀντώνιος, ἔφη· ταῦτα μὲν καὶ ἀπ' αὐτῆς τῆς ὄψεως ἔχει τὸν ἔλεγχον. ἐπειδὴ δὲ μᾶλλον ὑμεῖς τοῖς ἀποδεικτικοῖς λόγοις ἐπερείδεσθε, καὶ ταύτην ἔχοντες τὴν τέχνην, βούλεσθε καὶ ἡμᾶς μὴ ἄνευ τῆς διὰ τῶν λόγων ἀποδείξεως θεοσεβεῖν: εἴπατε πρῶτον ὑμεῖς, τὰ πράγματα, καὶ μάλιστα ἡ περὶ τοῦ θεοῦ γνῶσις πῶς ἀκριβῶς διαγινώσκεται, δι' ἀποδείξεως λόγων, ἢ δι' ἐνεργείας πίστεως; καὶ τί πρεσβύτερόν ἐστιν, ἡ δι' ἐνεργείας πίστις, ἢ ἡ διὰ λόγων ἀπόδειξις; τῶν δὲ ἀποκριναμένων, πρεσβυτέραν εἶναι τὴν δι' ἐνεργείας πίστιν, καὶ ταύτην εἶναι τὴν ἀκριβῆ γνῶσιν: ἔφη ὁ ἀντώνιος, καλῶς εἴπατε. ἡ μὲν γὰρ πίστις ἀπὸ διαθέσεως ψυχῆς γίνεται: ἡ δὲ διαλεκτικὴ ἀπὸ τέχνης τῶν συντιθέντων ἐστίν. οὐκ οὖν οἷς πάρεστιν ἡ διὰ πίστεως ἐνέργεια, τούτοις οὐκ ἀναγκαία, ἢ τάχα καὶ περιττή, ἡ διὰ λόγων ἀπόδειξις. καὶ γὰρ ὅπερ ἡμεῖς ἐκ πίστεως νοοῦμεν, τοῦτο ὑμεῖς διὰ λόγων κατασκευάζειν

* λείπει ἴσ. περσεφόνην εἰς

* ἴσ. ὑπερᾶσθε.

* ὁρᾶσθε· καὶ πολλάκις οὐδὲ φράσαι ἃ νοοῦμεν δύνασθε. ὥστε βελτίων καὶ ἰσχυροτέρα ἡ διὰ πίστεως ἐνέργεια τῶν σοφιστικῶν ὑμῶν συλλογισμῶν. ἡμεῖς τοίνυν οἱ χριστιανοὶ, οὐκ ἐν σοφίᾳ * λόγων ἑλληνικῶν ἔχομεν τὸ μυστήριον· ἀλλ' ἐν δυνάμει πίστεως, ἐπιχορηγουμένης ἡμῖν διὰ Ἰησοῦ χριστοῦ παρὰ θεοῦ. καὶ ὅτι ἀληθής ἐστιν ὁ λόγος· ἰδοὺ νῦν μὴ μαθόντες ἡμεῖς γράμματα, πιστεύομεν εἰς τὸν θεὸν, ἐπιγινώσκοντες διὰ τῶν ποιημάτων αὐτοῦ, τὴν εἰς πάντα πρόνοιαν. καὶ ὅτι ἐνεργὴς ἐστιν ἡ πίστις ἡμῶν, ἰδοὺ νῦν ἡμεῖς ἀπερειδόμεθα τῇ πίστει τῇ εἰς χριστὸν: ὑμεῖς δὲ σοφιστικαῖς λογομαχίαις. καὶ τὰ μὲν παρ' ὑμῖν τῶν εἰδώλων φάσματα καταργεῖται, ἡ δὲ παρ' ἡμῖν πίστις ἐπεκτείνεται πανταχοῦ. καὶ ὑμεῖς μὲν συλλογιζόμενοι καὶ σοφιζόμενοι, οὐ μεταπείθετε ἀπὸ χριστιανισμοῦ εἰς ἑλληνισμόν: ἡμεῖς δὲ τὴν εἰς χριστὸν πίστιν διδάσκοντες, ψιλοῦμεν ὑμῖν τὴν δεισιδαιμονίαν, ἐπιγινωσκόντων πάντων τὸν χριστὸν εἶναι θεὸν καὶ τοῦ θεοῦ υἱόν. καὶ ὑμῶν * οὐκ ἐμποδίζετε τὴν τοῦ χριστοῦ διδασκαλίαν: ἡμεῖς δὲ ὀνομάζοντες τὸν ἐσταυρωμένον χριστὸν, πάντας διώκομεν δαίμονας, οὓς ὑμεῖς φοβεῖσθε ὡς θεούς. καὶ ἔνθα τὸ σημεῖον τοῦ σταυροῦ γίνεται, ἀσθενεῖ μὲν μαγεία, οὐκ ἐνεργεῖ δὲ φαρμακία. εἴπατε γοῦν ποῦ νῦν ὑμῶν τὰ μαντεῖα; ποῦ αἱ τῶν αἰγυπτίων ἐπαοιδαί; ποῦ τῶν μάγων αἱ φαντασίαι; πότε ταῦτα πάντα πέπαυται καὶ ἠσθένησεν, εἰ μὴ ὅτε ὁ τοῦ χριστοῦ σταυρὸς γέγονεν; ἆρα οὖν ἄξιος οὗτος χλεύης, ἢ μᾶλλον τὰ καταργούμενα παρ' αὐτοῦ καὶ ἐλεγχόμενα ἀσθενῆ; καὶ γὰρ καὶ τοῦτο θαυμαστόν ἐστιν· ὅτι τὰ μὲν ὑμέτερα οὐδέποτε ἐδιώχθη, ἀλλὰ καὶ παρὰ ἀνθρώπων κατὰ πόλιν τιμᾶται: οἱ δὲ τοῦ χριστοῦ διώκονται, καὶ μᾶλλον τὰ παρ' ἡμῖν ὑπὲρ τὰ ὑμέτερα ἀνθεῖ καὶ πληθύνει. καὶ τὰ μὲν ὑμέτερα εὐφημούμενα καὶ περικλειόμενα διαφθείρεται: ἡ δὲ τοῦ χριστοῦ πίστις καὶ διδασκαλία, χλευαζομένη παρ' ὑμῶν, καὶ διωχθεῖσα πολλάκις παρὰ βασιλέων, πεπλήρωκε τὴν οἰκουμένην. πότε γὰρ οὕτω θεογνωσία ἐξέλαμ-

* λόγου

* λείπει ἴσ. μὲν μυθικοῖς λόγοις ἢ χριστιανοῖς

ni; & sæpe, quæ mente concipimus, ne verbis quidem potestis exprimere. Quare potior & firmior est fidei operatio, quàm sophisticæ vestræ argumentationes. Nos itaq; Christiani non in sapientia rationum Græcarum, mysterium habemus, sed in virtute fidei, quæ nobis à Deo per Iesum Christum suppeditatur. Ac verum esse quod dicam; en sine literarum cognitione in Deum nunc credimus, agnitâ ejus in res omnes providentiâ, per ea quæ fecit. Et efficacem esse fidem nostram; ecce nunc fidei nos in Christum innitimur, vos sophisticis verborum contentionibus. Ac portenta quidem apud vos idolorum abolentur: at fides nostra in loca universa extenditur. Vos neq; syllogismis, neq; captionibus dialecticis, à Christianismo ad paganismum traducitis quenquam: nos docendo fidem in Christum, superstitionem vobis auferimus; agnoscentibus omnibus, Christum esse Deum, Deiq; filium. Ac vestris [*fabularum commentis] doctrinam Christi non impeditis: nos, nominando Christum crucifixum, omnes fugamus dæmones, quos vos tanquam Deos timetis. Et ubi signum Crucis formatur; Magia vires amittit, veneficium inefficax redditur. Dicite igitur, ubi jam sunt vestra oracula? ubi Aegyptiorum incantantiones? ubi magorum phantasiæ? Quando hæc omnia cessarunt & elanguerunt, nisi cruce Christi apparẽte? Num ergò hæc ludibrium meretur, an potius quæ ab hac abolita & imbecillitatis convicta? Etenim hoc quoq; est admiratione dignum: Nemo vestra hostiliter persecutus est unquam, sed in singulis urbibus ab earum incolis honorantur: Christiani autem persecutionibus sunt obnoxij; & nostra tamen præ vestris florent ac crescunt. Vestra faustis latisq; acclamationibus excepta, circumclusa [& custodita] corrũpuntur: at Christi fides & doctrina à vobis derisa, sæpe à regibus persecutoribus expulsa, terrarum orbem implevit. Quando enim Dei cognitio ita elu-*

*Verbi, 1. Cor. 1, 17. vel sermonis, 1. Cor. 4, 20.

Rom. 1, 20.

* Oraculis. Lacunula in Græco, quàm isto vel simili potest modo expleri

ita eluxit? aut qvando temperantia, & virginitatis virtus, ita fuit conspicua? qvando mors ita fuit contempta? nisi cruce Christi oriente. Qvod nemo in dubium vocat, conspectis tot martyribus, qui propter Christum pro nihilo mortem ducunt; conspectis Ecclesiæ virginibus, qvæ propter Christum corpora servant munda & impolluta. Atq; hæ sunt notæ satis evidentes, quibus demonstratur, fidem secundum Christum solam, veram esse ad divinum cultum. En, vos ne nunc qvidē habetis fidem, rationū
1. Cor. 2, 3. collectionem reqvirentes. Nos utiq; non in persuasibilibus humanæ sapientiæ verbis [Græcorum] ut noster inqvit magister, sed fide suademus, qvæ manifestò verborum & rationum confirmationi antevertit. Ecce, adsunt hic qvi à dæmonibus mala perpetiuntur. Qvidam enim venerant ad ipsum, à dæmonibus afflicti: qvibus in medium adductis, dixit; Aut vos vestrorum syllogismis, & qva vultis cunq; arte, vel Magiâ, invocatis idolis vestris, ipsos mundate: aut, si id non potestis; mittite adversus nos pugnare, & virtutem Crucis Christi videbitis. Qvibus dictis, Christum invocavit, illosq; dæmoniacos figurâ Crucis iterum atq; iterum signavit; & homines illi confestim steterunt mente integra. Philosophi itaq; illi, qvos diximus, admirabantur, & verè hominis sapientiâ, & signo Crucis, attoniti reddebantur. Qvibus Antonius, Qvid ob hoc obstupescitis? non nostrarum hoc est virium, sed Christi, qvi hæc per eos, qvi in ipsum credunt, factitat. Qvocirca etiam vos credite; & cognoscetis, nostratia non esse verborum artem, sed fidem, qvæ dilectione in Christum operetur. Qvâ vos qvoq; præditi, non jam verbosas demonstrationes desiderabitis; verùm hæc senis verba ducetis satis esse ad fidem in Christum. Illi & in hoc admirati, discesserunt, vale ipsi dicto, seq; fructum ex eo cepisse sunt confessi. Fama porrò de Antonio ad aures regum usq; pervenit.
His enim

ἐξέλαμψεν; ἢ πότε οὕτω σωφροσύνη καὶ ἀρετὴ παρθενίας ἐφάνη; ἢ πότε οὕτως ὁ θάνατος κατεφρονήθη: εἰ μὴ ὅτε ὁ σταυρὸς τοῦ χριστοῦ γέγονε; τοῦτο δὲ οὐδεὶς ἀμφιβάλλει βλέπων τοὺς μάρτυρας διὰ τὸν χριστὸν καταφρονοῦντας θανάτου, βλέποντες τῆς ἐκκλησίας παρθένους, διὰ τὸν χριστὸν καθαρὰ καὶ ἀμίαντα φυλαττούσας τὰ σώματα. καὶ ἔστι μὲν ἱκανὰ ταῦτα τεκμήρια, δεῖξαι κατὰ χριστὸν πίστιν μόνην ἀληθῆ εἶναι εἰς θεοσέβειαν. ἰδοὺ ἀκμὴν ὑμεῖς ἀπιστεῖτε ζητοῦντες τοὺς ἐκ τῶν λόγων συλλογισμούς. ἡμεῖς μὲν, οὐκ ἐν * [πειθοῖς] πειθοῖ σοφίας ἑλληνικοῖς λόγοις, ὡς εἶπεν ὁ διδάσκαλος ἡμῶν, ἀποδείκνυμεν: τῇ δὲ πίστει πείθομεν ἐναργῶς * [προλαμβανούσῃ] προσλαμβάνουσι τὴν ἐκ τῶν λόγων κατασκευήν. ἰδοὺ πάρεισιν ὧδε πάσχοντες ὑπὸ δαιμόνων. ἦσαν δέ τινες ἐλθόντες πρὸς αὐτὸν ὑπὸ δαιμόνων ἐνοχλούμενοι, καὶ παραγαγὼν αὐτοὺς εἰς τὸ μέσον, ἔφη: ἢ ὑμεῖς τοῖς συλλογισμοῖς αὐτῶν, καὶ ᾗ αὖ βούλεσθε τέχνῃ, ἢ μαγείᾳ, ἐπικαλούμενοι τὰ εἴδωλα ἑαυτῶν, καθαρίσατε * [αὐτούς] ἑαυτούς: ἢ, εἰ μὴ δύνασθε, κατάθεσθε τὴν πρὸς ἡμᾶς μάχην, καὶ ὄψεσθε τοῦ σταυροῦ τοῦ χριστοῦ τὴν δύναμιν. καὶ ταῦτα εἰπὼν, ἐπικαλέσατο τὸν χριστὸν, ἐσφράγισέ τε τοὺς πάσχοντας τῷ σημείῳ σταυροῦ δεύτερον καὶ τρίτον· καὶ εὐθὺς ἔστησαν οἱ ἄνθρωποι ὁλόκληροι, σωφρονοῦντες καὶ εὐχαριστοῦντες τῷ κυρίῳ λοιπόν. καὶ οἱ μὲν λεγόμενοι φιλόσοφοι ἐθαύμαζον, καὶ ἀληθῶς ἐξεπλήττοντο ἐπὶ τῇ συνέσει τοῦ ἀνδρὸς, καὶ τῷ γενομένῳ σημείῳ. ὁ δὲ ἀντώνιος ἔφη, τί θαυμάζετε ἐπὶ τούτῳ; οὐκ ἐσμὲν ἡμεῖς οἱ ποιοῦντες, ἀλλ' ὁ χριστός ἐστιν, ὁ διὰ τῶν εἰς αὐτὸν πιστευόντων ταῦτα ποιῶν. πιστεύσατε οὖν καὶ ὑμεῖς· καὶ ὄψεσθε, ὅτι οὐ τέχνη λόγων τὰ παρ' ἡμῖν ἐστιν, ἀλλὰ πίστις δι' ἀγάπης τῆς εἰς χριστὸν ἐνεργουμένης. ἥν τινα ἐὰν σχοίητε καὶ ὑμεῖς, οὐκέτι τὰς διὰ λόγων ἀποδείξεις ζητήσετε, ἀλλ' αὐτάρκη τὴν εἰς τὸν χριστὸν πίστιν ἡγήσεσθε. ταῦτα τοῦ ἀντωνίου τὰ ῥήματα. ἐκεῖνοι δὲ καὶ ἐν τούτῳ θαυμάζοντες, ἀνεχώρουν, κατασπαζόμενοι αὐτὸν, καὶ ὁμολογοῦντες ὠφελεῖσθαι παρ' αὐτοῦ. ἔφθασε δὲ καὶ μέχρι βασιλέων ἡ περὶ ἀντωνίου φήμη.

πάντα γὰρ μαθόντες Κωνσταντῖνος ὁ αὔγουστος, καὶ οἱ υἱοὶ αὐτοῦ Κωνστάντιος καὶ Κώνστας οἱ αὔγουστοι, ἔγραφον αὐτῷ ὡς πατρί, καὶ ηὔχοντο λαμβάνειν ἀντιγράμματα παρ' αὐτοῦ. ἀλλ' οὔτε τὰ γράμματα περὶ πολλοῦ τινὸς ἐποιεῖτο, οὔτε ἐπὶ ταῖς ἐπιστολαῖς ἐγεγήθει. ὁ αὐτὸς δὲ ἦν, οἷος καὶ πρὸ τοῦ γράφειν αὐτῷ βασιλέας. ὅτε δὲ ἐκόμιζεν αὐτῷ τὰ γράμματα, ἐκάλει τοὺς μοναχοὺς, καὶ ἔλεγε· Μὴ θαυμάζετε, εἰ γράφει βασιλεὺς πρὸς ἡμᾶς, ἄνθρωπος γάρ ἐστιν: ἀλλὰ μᾶλλον ὅτι ὁ θεὸς τὸν νόμον ἀνθρώποις ἔγραψε, καὶ διὰ τοῦ ἰδίου υἱοῦ λελάληκεν ἡμῖν. ἐβούλετο οὖν μὴ δέχεσθαι τὰς ἐπιστολάς, λέγων, οὐκ εἰδέναι πρὸς τὰ τοιαῦτα ἀντιγράφειν. προτραπεὶς δὲ παρὰ τῶν μοναχῶν, ὅτι χριστιανοί εἰσιν οἱ βασιλεῖς, καὶ ἵνα μὴ ὡς παρριφέντες σκανδαλισθῶσιν: ἐπέτρεπεν ἀναγινώσκεσθαι. καὶ ἀντέγραφεν, ἀποδεχόμενος μὲν αὐτοὺς, ὅτι χριστὸν προσκυνοῦσιν, συνεβούλευε δὲ τὰ εἰς σωτηρίαν· καὶ μὴ μεγάλα ἡγεῖσθαι τὰ παρόντα, ἀλλὰ μᾶλλον μνημονεύειν τῆς μελλούσης κρίσεως· καὶ εἰδέναι ὅτι ὁ χριστὸς μόνος ἀληθὴς καὶ αἰώνιός ἐστι βασιλεύς. φιλανθρώπους τε εἶναι αὐτοὺς ἠξίου, καὶ φροντίζειν τοῦ δικαίου καὶ τῶν πτωχῶν. κἀκεῖνοι δεχόμενοι ἔχαιρον. οὕτω παρὰ πᾶσιν ἦν προσφιλής, καὶ πάντες ἔχειν αὐτὸν ἠξίουν πατέρα. τοιοῦτος δὴ οὖν γινωσκόμενος, καὶ οὕτω πρὸς τοὺς ἀπαντῶντας ἀποκρινόμενος, ὑπέστρεφε πάλιν εἰς τὸ ἔνδον ὄρος. καὶ τῆς μὲν συνήθους ἀσκήσεως εἴχετο. πολλάκις δὲ μετὰ τῶν εἰσερχομένων πρὸς αὐτὸν καθεζόμενος, καὶ περιπατῶν, ἀπηνεοῦτο, ὡς ἐν τῷ Δανιὴλ γέγραπται. καὶ αὐτὸς μὲν μεθ' ὥρας, ὡμίλει τὰ ἀκόλουθα τοῖς συνοῦσιν ἀδελφοῖς αὐτῷ: οἱ δὲ συνόντες ᾐσθάνοντό τινα θεωρίαν αὐτὸν βλέπειν. καὶ γὰρ καὶ τὰ ἐν αἰγύπτῳ γινόμενα πολλάκις ἐν τῷ ὄρει τυγχάνων καὶ βλέπων διηγήσατο Σεραπίωνι τῷ ἐπισκόπῳ, ἔνδον ὄντι καὶ βλέποντι τὸν Ἀντώνιον ἀσχοληθέντα τῇ ὀπτασίᾳ. ποτὲ γοῦν καθεζόμενος, ὥσπερ ἐν ἐκστάσει γέγονεν, καὶ πολὺς ἦν ἐν τῇ θεωρίᾳ στενάζων. εἶτα μεθ' ὥραν στραφεὶς πρὸς τοὺς συνόντας, ἐστέναζε, καὶ ἔντρομος γενόμενος, ἀναστὰς ηὔχετο, καὶ κάμπτων τὰ γόνατα, διέμεινεν ἐπὶ πολύ. καὶ ἀναστὰς ἔκλαιεν ὁ γέρων. ἔντρομοι τοίνυν γενόμενοι οἱ συνόντες, καὶ πάνυ φοβηθέντες, ἠξίουν μαθεῖν παρ' αὐτοῦ· καὶ πολὺ

His enim cognitis Constantinus Augustus, ejusq; filij Constantius & Constans Augusti, illi tanquam parenti scripserunt, & responsum accipere ab illo, exoptarunt. Verùm neq; literas ita faciebat magni, neq; epistolis delectabatur: eratq; idem, qvi antequam reges literas ad ipsum darent. Qvæ qvum ei afferrentur; accersitis monachis, Ne miremini, inquit, si Rex ad me scribat; homo enim est: sed potiùs, Deum hominibus legem scripsisse & per filium nobiscum esse locutum. Hebr. 1. 2. *Nolebat ergo recipere literas; qvòd ijs respondere nesciret. A monachis autem admonitus, Christianos illos esse, ne, tanquam spreti, offenderentur: legi permisit. rescripsitq; Laudare se ipsos, qvòd Christum adorarent; ac saluti eorum consuluit, Ne præsentia magni facerent, sed futuri judicij memores potiùs essent, non nescij, Christum solum esse verum atq; æternum regem. humanitati qvoq; ut studerent, rogavit; curamq; justiciæ & pauperum gererent. His acceptis literis lætabantur, adeò acceptus omnibus & gratus fuit, eúq; omnes patrem sibi esse voluerūt. Talis cognitus, itaq; ijs qvi adversum ierant respondens: rursus in montem interiorem se contulit; solita usus exercitatione. Sæpe autem numero, qvum ad ipsum ingressis assedit, aut cum ijsdem ambulavit; stupefactus (ut in Daniele scriptum est) obmutuit.* Dani el, 4,16 *Post horæ spacium, ordine cum fratribus præsentibus colloqvebatur: qvi revelationem qvandam ipsi factam, animadvertebant. Non rarò enim qvæ in Aegypto fiebant, videns in monte, Sarapioni episcopo narravit, cum intus ipsi adesset, & visione occupatum cerneret. Qvondam certè sedebat qvasi raptus extra se se; multumq; contemplationi vocabat cum suspirijs. Deinde, horâ elapsâ integrâ, cõversus ad illos qvi cũ ipso erant, ingemiscebat, tremensq; orabat flexis genibus perquam diu. Cumq; flens surgeret senex: tremefacti fratres, & metu valde perculsi, rem ut patefaceret*

rogabant tam molestè, ut invitus tandem dixerit, graviterq; gemuerit. hæc autem ejus erant verba; Filij, præstaret prius emori, quàm visa eventum sortirentur. Illis iterum urgentibus; plorans, inqvit, Ira [divina] Ecclesiam invadet, hæcq; ijs tradetur viris, qui à feris rationis expertibus nihil different. Vidi enim mensam Domini, & mulos stare circum circa, atq; ita calcibus petere interiora, qvasi bestijs confusè saltantibus, calcitratus fierent. Sensistis planè, quàm suspirarim. Audivi enim vocem, qvæ dixit, Altare meum fiet execrabile. Hæc senex vidit. & biennio pòst Arianorum ista, quæ adhuc durat, incursio subsecuta est, Ecclesiarumq; direptio: qvum & [sacra] vasa, vi prærepta, paganos portare curarunt. & eosdem ex tabernis secum congregari coëgerunt; eorumq; in præsentia mensam Domini pro lubitu tractarunt. Tunc omnes nos agnovimus, per calcitratum mulorum Antonio hæc præsignificata esse, qvæ jam Ariani, sine rationis usu, tanquam belluæ faciunt. Hac visione revelata, his verbis eos, qvi tum erant præsentes, fuit consolatus: Ne animo concidatis filij; qvemadmodum enim est iratus Dominus, ita rursum *medebitur; & jamjam pristinum Ecclesia ornatum recuperabit, suoq; more fulgebit; qvi persecutionem sunt experti, eos in integrum restitutos videbitis; impietatem in latibula sua recessisse, fidem verò piam qvàm apertissimè ubiq; agere, omnemq; libertatem usurpare. Modò ne Arianorum lue polluamini. neq; enim istorum doctrina est apostolica, sed dæmonum, horumq; patris diaboli; qvin potius sterilis & bruta, mentisq; vesana, qvemadmodum muli ratione omni carent. hactenus Antonij verba. Neq; verò utrum ab [uno] homine tot edi miracula potuerint, in dubium, incertumq; vocandum est: Promissio enim hæc est Servatoris, qvi dixit; Si habueritis fidem sicut granum sinapis, dicetis monti huic, Transi hinc

*miserebitur

Matth. 17. 20

[illuc;] &

*διέχλησαν, ἕως βιασθεὶς εἴπῃ. ὁ δὲ καὶ οὕτω μέγα στενάξας, ὦ τέκνα, *διώχλησαν
βέλτιον ἔλεγεν ἀποθανεῖν, πρὸ τοῦ γενέσθαι τὰ τῆς θεωρίας. τῶν δὲ πάλιν δι' ὄχλου ἦσαν
ἀξιούντων, δακρύσας ἔλεγεν· μέλλει τὴν ἐκκλησίαν ὀργὴ καταλαμβά-
νειν, καὶ μέλλει παραδίδοσθαι ἀνθρώποις ὁμοίοις ἀλόγοις κτήνεσιν. εἶδον
γὰρ τὴν τράπεζαν τοῦ κυριακοῦ, καὶ περὶ αὐτὴν ἑστῶτας ἡμιόνους κύκλῳ
πανταχόθεν, καὶ λακτίζοντας τὰ ἔνδον οὕτως, ὡς ἂν ἀτάκτως σκιρτών-
των κτηνῶν γένοιτο λακτίσματα. πάντως δὲ ᾔσθεσθε, φησὶ, πῶς ἐστέ-
ναζον. ἤκουσα γὰρ φωνῆς λεγούσης, βδελυχθήσεται τὸ θυσιαστήριόν μου.
ταῦτα εἶδεν ὁ γέρων. καὶ μετὰ δύο ἔτη, γέγονεν ἡ νῦν ἔφοδος τῶν ἀρεια-
νῶν, καὶ ἡ ἁρπαγὴ τῶν ἐκκλησιῶν. ὅτε καὶ τὰ σκεύη μετὰ βίας ἁρπάσαν-
τες, δι' ἐθνικῶν ἐποίουν βαστάζεσθαι· ὅτε καὶ τοὺς ἐθνικοὺς ἀπὸ τῶν ἐργαστη-
ρίων ἠνάγκαζον συνάγεσθαι μετ' αὐτῶν. καὶ παρόντων αὐτῶν, ἔπραττ-
τον ἐπὶ τῆς τραπέζης ὡς ἤθελον· τότε πάντες ἡμεῖς ἐπέγνωμεν, ὅτι τὰ
λακτίσματα τῶν ἡμιόνων, ταῦτα προεμήνυε τῷ ἀντωνίῳ, ἃ νῦν οἱ
ἀρειανοὶ ἀλόγως πράττουσιν ὡς τὰ κτήνη. ὡς δὲ ταύτην εἶδε
τὴν θεωρίαν, τοὺς συνόντας παρεκάλεσε, λέγων: μὴ ἀθυμεῖτε
τέκνα: ὥσπερ γὰρ ὠργίσθη ὁ κύριος, οὕτω πάλιν * ἰάσεται. *ἱλεώσει vel ἱλατηρήσει
καὶ πάλιν ταχέως ἀπολήψεται τὸν ἑαυτῆς κόσμον ἡ ἐκκλησία,
καὶ συνήθως ἀναλάμψει· καὶ ὄψετε τοὺς διωχθέντας ἀποκα-
θισταμένους· καὶ τὴν μὲν ἀσέβειαν πάλιν εἰς τοὺς ἰδίους φω-
λεοὺς ἀναχωροῦσαν, τὴν δὲ εὐσεβῆ πίστιν παρρησιαζομένην μετὰ
πάσης ἐλευθερίας πανταχοῦ. μόνον μὴ μιαίνητε ἑαυτοὺς μετὰ
τῶν ἀρειανῶν. οὐκ ἔστι γὰρ τῶν ἀποστόλων αὕτη ἡ διδασκαλία:
ἀλλὰ τῶν δαιμόνων, καὶ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου καὶ μᾶλ-
λον ἄγονος καὶ ἄλογος, καὶ διανοίας ἐστὶν οὐκ ὀρθῆς, ὡς ἡ
τῶν ἡμιόνων ἀλογία. τοιαῦτα μὲν τὰ τοῦ ἀντωνίου. οὐ δεῖ δὲ
ἡμᾶς ἀπιστεῖν, εἰ δι' ἀνθρώπου τοσαῦτα γέγονε θαύματα. τοῦ γὰρ
σωτῆρος ἐστὶν ἐπαγγελία, λέγοντος: ἐὰν ἔχητε πίστιν ὡς κόκ-
κον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι ἐντεῦθεν,

 καὶ μετα-

καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. καὶ πάλιν, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τι αἰτήσητε τὸν πατέρα μου ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν. αἰτεῖτε, καὶ λήψεσθε. καὶ αὐτός ἐστιν ὁ τοῖς μαθηταῖς λέγων, καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτόν: ἀσθενοῦντας θεραπεύετε· δαίμονας ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε. οὐ προστατῶν γοῦν ἐθεράπευσεν ὁ Ἀντώνιος, ἀλλ' εὐχόμενος καὶ τὸν Χριστὸν ὀνομάζων: ὡς πᾶσι φανερὸν γενέσθαι, ὅτι οὐκ ἦν αὐτὸς ὁ ποιῶν, ἀλλ' ὁ κύριος, ὁ δι' Ἀντωνίου φιλανθρωπευόμενος, καὶ θεραπεύων τοὺς πάσχοντας. Ἀντωνίου δὲ μόνον ἡ εὐχὴ καὶ ἡ ἄσκησις ἦν. ἧς ἕνεκεν ἐν τῷ ὄρει καθήμενος, ἔχαιρε μὲν τῇ τῶν θείων θεωρίᾳ, ἐλυπεῖτο δὲ διοχλούμενος ὑπὸ πολλῶν καὶ ἑλκόμενος εἰς τὸ ὄρος τὸ ἔξω. καὶ γὰρ καὶ δικασταὶ πάντες, ἠξίουν ἀπὸ τοῦ ὄρους αὐτὸν κατέρχεσθαι, ἐπεὶ μὴ δυνατὸν ἦν αὐτοὺς εἰσελθεῖν ἐκεῖ διὰ τοὺς ἀκολουθοῦντας τῶν δικαζομένων. ἠξίουν δὲ ὅμως, ἵνα ἔλθῃ καὶ μόνον αὐτὸν ἴδωσιν. αὐτὸς μὲν οὖν ἐξετρέπετο καὶ παρῃτεῖτο τὰς πρὸς τούτους ὁδούς· οἱ δὲ ἐπέμενον, καὶ μᾶλλον τοὺς ὑπευθύνους ὄντας ὑπὸ στρατιώτας προσέπεμπον: ἵνα κἂν διὰ τὴν ἐκείνων πρόφασιν κατέλθῃ. πάσχων οὖν ἀνάγκην, καὶ ὁρῶν αὐτοὺς ὀδυρομένους, ἤρχετο μὲν εἰς τὸ ὄρος τὸ ἔξω. οὐκ ἀνωφελὴς δὲ πάλιν ἦν ὁ σκυλμὸς αὐτοῦ. πολλοῖς μὲν γὰρ εἰς ὄνησιν ἐγένετο, καὶ εἰς εὐεργεσίαν ἡ ἄφιξις αὐτοῦ. τοὺς δὲ δικαστὰς ὠφέλει, συμβουλεύων πάντων μᾶλλον προκρίνειν τὸ δίκαιον· καὶ φοβεῖσθαι τὸν θεὸν, καὶ εἰδέναι, ὅτι οἵῳ κρίματι κρίνουσι, κριθήσονται. πλὴν ὅτι τὴν ἐν τῷ ὄρει διατριβὴν πάντων μᾶλλον ἠγάπα. ποτὲ οὖν βίαν τοιαύτην παθὼν παρὰ τῶν χρείαν ἐχόντων, καὶ τοῦ στρατηλάτου διὰ πολλῶν ἀξιώσαντος αὐτὸν κατελθεῖν: ἐλθὼν, καὶ ὁμιλήσας ὀλίγα, τὰ εἰς σωτηρίαν φθάνοντα, καὶ * περὶ τῶν δεομένων ἠπείγετο. τοῦ δὲ λεγομένου δουκὸς ἀξιοῦντος, αὐτὸν ἐμβραδῦναι: ἔλεγε μὴ δύνασθαι χρονίζειν μετ' αὐτῶν, καὶ παραδείγματι χαρίεντι τοῦτον ἔπειθε λέγων.

* παρὰ τῶν

ὥσπερ

[illuc;] & transibit: & nihil impossibile erit vobis. Ac rursus, Amen amen dico vobis, si quid petieritis patrem in nomine meo, dabit vobis: petite, & accipietis. Ipse enim discipulis atque omnibus in eum credentibus dixit; Infirmos curate, dæmones ejicite; gratis accepistis, gratis date. Curavit nimirum Antonius [infirmos] non quadã sua autoritate, sed precatione, Christumq́ nominando: ut omnibus constaret, non ipsius esse opus sed Domini, qui per illum clementiam ostendit suam, & afflictis opem tulit; ita ut Antonij non nisi preces fuerint vitaq́ ascetica. Qua de causa in monte is degens, rerum divinarum contemplatione lætabatur: à turba autem divexatus, & in montis exteriora pertractus, mœrore afficiebatur. Nam omnes etiam judices ab ipso, de monte ut descenderet, petebant; quòd ob litigantium comitatum ingredi ad ipsum nequirent. rogabant porrò veniret, ut ejus tantum aspectu fruerentur. Recusante illo, & à via deflectente: instare illi, & reos ad ipsum mittere, sub militum potestate constitutos; ut vel propter horum prætextum descenderet. Adactus itaq́ necessitate, & eorundem lamẽtatione permotus, in montem exteriorem venit: qua defatigatio ejus perniciosa haud fuit. Adventus enim illius multis commodo fuit, multis beneficia contulit. Judicibus etiam erat emolumento; quos jus & æquum rebus alijs omnibus præferre jubebat, timere Deum, ac nosse, illo se olim judicatum iri judicio, quo judicassent. Verum enim verò vitâ in monte solitariâ nihil ipsi fuit antiquius. Quondam igitur cum ab egenis talia illi accidissent, & dux militiæ summè ab ipso contendisset, ut descenderet: venit; paucisq́ in medium allatis, quæ ad salutem facerent, ab illis etiã indigis urgebatur. Rogatus tum ab eodem duce, moram ut traheret: morari se apud illos posse diutius, negavit, idq́ [ut crederet] lepido ipsi exemplo persuasit. Quemadmodum,

Ioan. 15, 23. 24.

Matth. 10, 8.

Matth. 7, 2.

madmodum, inqvit, pisces immorando sicca terra moriuntur: ita monachi vobiscum morando longiusq; versando, enervantur. Vt igitur pisci ad mare, sic nobis ad montem est properandum; ne cunctando, eorum qvæ sunt intus obliviscamur. Qvibus ex eo, multisq; alijs, militiæ dux auditis; admiratus, verè ipsum Dei servum esse dixit: unde nanq; idiotæ mens tam eximia foret, nisi à Deo diligeretur? Alius autem militiæ præfectus, Balacius nomine, asperè nos Christianos est persecutus, propter odiosæ Arianorum sectæ studium. Is qvia ita erat crudelis, ut virgines qvoq; pulsaret, & monachos nudaret atq; flagris cæderet: mittit Antonius fratres ad ipsum, cum epistola in hanc sententiam scripta. Video iram Dei imminere tibi. Christianos itaq; desine persequi, ne qvando ira te corripiat: jam enim te invasura est. Balacius ridere; epistolamq; humi projectã consputare; ac ijs qvi attulerant mandare, Antonio hæc renunciarent: Qvoniam monachorum curam geris, nunc etiam te persequar. At non præterierant dies qvinq;, qvum irâ Dei opprimeretur. In primam enim Alexandriæ præfecturam. Charea dictam, egressus fuit & ipse Balacius, & Nestorius Aegypti præses: ac ambo eqvis insidebant, qvi illius erant proprij, & mansuetiores cæteris qvos domi alebat suæ: sed nondum ad locum progressis, eqvi ludere invicem, more solito. cœptant; & illicò mansvetior, qvo Nestorius vectus, morsu Balacium * apprehendit, in eumq; irruit: itaq; femur ejus dentibus discerpsit, ut confestim in urbem deportatus, triduò moreretur; & mirarentur omnes, qvæ Antonius prædixisset, tam citò esse impleta. Sic igitur hortabatur asperiores naturâ. Alios verò ad ipsum itantes monitis & præceptis ita correxit, ut extemplò juris dicendi obliviscerentur; eosq; beatos prædicarent, qvi vitam anachoreticam viverent. Perinde autem injurijs affectorum patrocini-

*prostravit

ὥσπερ οἱ ἰχθύες ἐγχρονίζοντες τῇ ξηρᾷ γῇ τελευτῶσιν· οὕτως οἱ μοναχοὶ βραδύνοντες μεθ' ὑμῶν, καὶ παρ' ὑμῖν ἐνδιατρίβοντες, ἐκλύονται. δεῖ οὖν ὥσπερ τὸν ἰχθὺν εἰς τὴν θάλασσαν, οὕτως ἡμᾶς εἰς τὸ ὄρος ἐπείγεσθαι· μή ποτε ἐμβραδύνοντες, ἐπιλαθώμεθα τῶν ἔνδον. ἀκούσας δὲ ὁ στρατηλάτης ταῦτα παρ' αὐτοῦ, καὶ ἕτερα πολλὰ θαυμάσας, ἔλεγεν· ἀληθῶς εἶναι τοῦτον δοῦλον τοῦ θεοῦ· πόθεν γὰρ ἰδιώτῃ πιστὸς καὶ τοσοῦτος νοῦς, εἰ μὴ ἦν ἀγαπώμενος ὑπὸ τοῦ θεοῦ; εἷς δέ τις στρατηλάτης (Βαλάκιος δὲ ἦν ὄνομα αὐτῷ) πικρῶς ἐδίωκεν ἡμᾶς τοὺς χριστιανοὺς, διὰ τὴν ὑπὲρ τῶν δυσωνύμων ἀρειανῶν σπουδήν. καὶ ἐπειδὴ τοσοῦτον ἦν ὠμὸς, ὡς καὶ παρθένους τύπτειν, καὶ μονάζοντας γυμνοῦν καὶ μαστίζειν· ἀποστέλλει πρὸς αὐτὸν Ἀντώνιος, καὶ γράφει τοιοῦτον ἔχουσαν νοῦν ἐπιστολήν. Ὁρῶ ὀργὴν ἐπερχομένην ἐπὶ σέ· παῦσαι οὖν διώκων χριστιανοὺς, μή ποτέ σε ἡ ὀργὴ καταλάβῃ· μέλλει γὰρ ἤδη ἐπὶ σὲ ἔρχεσθαι. ὁ δὲ Βαλάκιος γελάσας, τὴν μὲν ἐπιστολὴν ἔρριψε χαμαὶ, πτύσας εἰς αὐτήν· τοὺς δὲ κομίσαντας ὕβρισε, παραγγείλας ἀπαγγέλλειν Ἀντωνίῳ ταῦτα. ἐπειδὴ φροντίζεις τῶν μοναχῶν, ἤδη καὶ σὲ μετελεύσομαι. καὶ οὐ παρῆλθον ἡμέραι πέντε, καὶ κατέλαβεν αὐτὸν ἡ ὀργή. εἰς γὰρ τὴν πρώτην * μονὴν Ἀλεξανδρείας τὴν λεγομένην Χαιρέου, ἐξῆλθεν αὐτός τε ὁ Βαλάκιος, καὶ Νεστόριος ὁ ἔπαρχος τῆς Αἰγύπτου. καὶ ἀμφότεροι μὲν ἐπικαθίζοντο ἵπποις (ἦσαν δὲ οὗτοι ἴδιοι τοῦ Βαλακίου, καὶ πρᾳότεροι πάντων τῶν τρεφομένων παρ' αὐτῷ·) ἀλλὰ μήπω φθασάντων αὐτῶν εἰς τὸν τόπον, ἤρξαντο παίζειν, ὡς εἰώθασι, πρὸς ἀλλήλους· καὶ ἐξαίφνης ὁ πρᾳότερος, ᾧ ἐπικαθέζετο Νεστόριος, δήγματι τὸν Βαλάκιον * καταβαλὼν, ἐπέπεσεν αὐτῷ· καὶ οὕτω τοῖς ὀδοῦσιν ἐσπάραξε τὸν μηρὸν αὐτοῦ· ὡς εὐθὺς μὲν ἀπενεχθῆναι εἰς τὴν πόλιν, ἐν τρισὶ δὲ ἡμέραις ἀποθανεῖν· καὶ πάντας θαυμάζειν ὅτι ἃ προείρηκεν ὁ Ἀντώνιος, ταχέως πεπλήρωται. οὕτω μὲν οὖν τοῖς πικροτέροις παρῄνει. τοὺς δὲ ἄλλους τοὺς πρὸς αὐτὸν ἀπαντῶντας οὕτως ἐνουθέτει. ὡς ἐπιλανθάνεσθαι παρ' αὐτὰ τοῦ δικάζειν. καὶ μακαρίζειν τοὺς ἀναχωροῦντας ἀπὸ τοῦ βίου τούτου. οὕτω δὲ τῶν ἀδικουμένων προΐστατο,

* ἴσ. νομὴν

* καταλαβὼν

ὡς νομίζειν μὴ ἄλλους, ἀλλ' αὐτὸν εἶναι τὸν πάσχοντα· οὕτω δὲ πάλιν πρὸς ὠφέλειαν πᾶσιν ἦν ἱκανὸς, ὡς πολλοὺς στρατευομένους, καὶ τοὺς τὰ πολλὰ κεκτημένους, ἀποθέσθαι τὰ τοῦ βίου βάρη. καὶ λοιπὸν γίνεσθαι μοναχούς. καὶ ὅλως ὥσπερ ἰατρὸς ἦν δοθεὶς παρὰ τοῦ θεοῦ τῇ αἰγύπτῳ. τίς γὰρ λυπούμενος ἀπήντα, καὶ οὐχ ὑπέστρεφε χαίρων; τίς ἤρχετο θρηνῶν διὰ τοὺς αὐτοῦ τεθνηκότας, καὶ οὐκ εὐθέως ἀπετίθετο τὸ πένθος; τίς ὀργιζόμενος ἤρχετο, καὶ οὐκ εἰς φιλίαν μετεβάλλετο; τίς πένης ἀκηδιῶν ἀπήντα, καὶ ἀκούων αὐτοῦ, καὶ βλέπων αὐτὸν, οὐ κατεφρόνει τοῦ πλούτου, καὶ παρεμυθεῖτο τὴν πενίαν; τίς μοναχὸς ὀλιγωρήσας, καὶ ἀπελθὼν πρὸς αὐτὸν, οὐ μᾶλλον ἰσχυρότερος ἐγίνετο; τίς νεώτερος ἐλθὼν εἰς τὸ ὄρος, καὶ θεωρήσας ἀντώνιον, οὐκ εὐθέως ἐξηρνεῖτο τὰς ἡδονὰς, καὶ ἠγάπα σωφροσύνην; τίς ἤρχετο πρὸς αὐτὸν ὑπὸ δαίμονος πειραζόμενος, καὶ οὐκ ἀνεπαύετο; τίς δὲ ἐνοχλούμενος ἐν λογισμοῖς ἤρχετο, καὶ οὐκ ἠγαλλία τῇ διανοίᾳ; καὶ γὰρ καὶ τοῦτο ἦν μέγα τῆς ἀσκήσεως τοῦ ἀντωνίου, ὅτι (καθὰ προεῖπον) χάρισμα διακρίσεως πνευμάτων ἔχων, ἐπεγίνωσκεν αὐτῶν τὰ κινήματα· καὶ πρὸς ὅ τις αὐτῶν εἶχε τὴν σπουδὴν καὶ τὴν ὁρμὴν, τοῦτο οὐκ ἠγνόει. καὶ οὐ μόνον αὐτὸς οὐκ ἐπαίζετο παρ' αὐτῶν: ἀλλὰ καὶ τοὺς ἐνοχλουμένους ἐν λογισμοῖς παρακαλῶν ἐδίδασκε, πῶς ἂν δύναιντο τὰς ἐκείνων ἐπιβουλὰς ἀνατρέπειν· διηγούμενος τῶν ἐνεργούντων τὰς ἀσθενείας καὶ τὰς πανουργίας. ἕκαστος γοῦν,* ὡς παρ' ἐπαλιφεὶς παρ' αὐτοῦ κατήρχετο καταθαρρῶν τῶν νοημάτων τοῦ διαβόλου, καὶ τῶν δαιμόνων αὐτοῦ. πόσαι δὲ καὶ μνηστῆρας ἔχουσαι παρθένοι, καὶ μόνον ἀπὸ τοῦ πέραν ἰδοῦσαι τὸν ἀντώνιον ἔμειναν τῷ χριστῷ παρθένοι. ἤρχοντο δὲ καὶ ἀπὸ τῶν ἔξω μερῶν πρὸς αὐτόν. καὶ αὐτοὶ μετὰ πάντων τὴν ὠφέλειαν ἐσχηκότες, ὑπέστρεφον ὡς παρὰ πατρὸς προπεμπόμενοι. ἀμέλει κοιμηθέντος αὐτοῦ, πάντες οἱ ὀρφανοὶ γενόμενοι πατρὸς, μόνῃ τῇ ἐκείνου μνήμῃ παρακαλοῦσιν ἑαυτοὺς, κατέχοντες ἅμα τὰς νουθεσίας καὶ τὰς παραινέσεις αὐτοῦ. οἷον δὲ καὶ τὸ τέλος αὐτῷ τοῦ βίου γέγονεν, ἄξιον κἀμὲ μνημονεῦσαι, καὶ ὑμᾶς ἀκοῦσαι ποθοῦντας. καὶ τοῦτο γὰρ αὐτοῦ ζηλωτὸν γέγονε. κατὰ τὸ εἰωθὸς ἐπεσκέπτετο τοὺς

μοναχοὺς

* ἢ ὥσπερ ἐπαλιφ.

